Ἀκρίσιος γαμεῖ Εὐρυδίκην τὴν Λακεδαίμονος, ὡς Φερεκύδης ἐν δευτέρᾳ ἱστορεῖ· τῶν δὲ γίνεται Δανάη· χρωμένῳ δ' αὐτῷ περὶ ἄρσενος παιδὸς, ἔχρησεν ὁ θεὸς ἐν Πυθοῖ, ὅτι αὐτῷ μὲν οὐκ ἔσται παῖς ἄρσην, ἐκ δὲ τῆς θυγατρὸς, πρὸς οὗ αὐτὸν δεῖ ἀπολέσθαι· ὁ δὲ παρελθὼν εἰς Ἄργος, θάλαμον ποιεῖ χαλκοῦν ἐν τῇ αὐλῇ τῆς οἰκίας κατὰ γῆς, ἔνθα τὴν Δανάην εἰσάγει μετὰ τῆς τροφοῦ, ἐν ᾧ αὐτὴν ἐφύλασσεν, ὅπως ἐξ αὐτῆς παῖς μὴ γένηται. ἐρασθεὶς δὲ ὁ Ζεὺς τῆς παιδὸς, ἐκ τοῦ ὀρόφου, χρυσῷ παραπλήσιος, ῥεῖ· ἡ δὲ, ὑποδέχεται τῷ κόλπῳ. ἐκφήνας δὲ αὐτὸν ὁ Ζεὺς, τῇ παιδὶ μίγνυται· τῶν δὲ γίνεται Περσεὺς, καὶ ἐκτρέφει αὐτὸν ἡ Δανάη, καὶ ἡ τροφὸς, κρύπτουσαι Ἀκρίσιον. ἐπεὶ δὲ Περσεὺς τριέτης, ἢ τετραέτης, ἐγένετο, ἤκουσεν αὐτοῦ τῆς φωνῆς παίζοντος· καὶ διὰ τῶν θεραπόντων μετακαλεσάμενος τὴν Δανάην σὺν τῇ τροφῷ, τὴν μὲν ἀναιρεῖ, Δανάην δὲ καταγαγὼν σὺν τῷ παιδὶ ἐπὶ τὸν βωμὸν τοῦ Ἑρκείου Διὸς βωμόν· μόνος δὲ αὐτὴν ἐρωτᾷ, πόθεν εἴη αὐτῇ γεγονὼς παῖς· ἡ δὲ ἔφη, ἐκ Διός· ὁ δὲ οὐ πείθεται, ἀλλ' εἰς λάρνακα ἐμβιβάζει αὐτὴν μετὰ τοῦ παιδὸς· καὶ κλείσας καταποντοῖ· καὶ φερόμενοι, ἀφικνοῦνται εἰς Σέριφον τὴν νῆσον, καὶ αὐτοὺς ἐξέλκει Δίκτυς, ὁ Περισθένους, δικτύῳ ἁλιεύων. εἶτα ἡ Δανάη, ἀνοῖξαι ἱκετεύει τὴν λάρνακα· ὁ δὲ ἀνοίξας, καὶ μαθὼν οἵτινές εἰσιν, ἄγει εἰς τὸν οἶκον, καὶ τρέφει ὡς ἂν συγγενεῖς αὐτοῦ ὄντας. ἦσαν γὰρ ὁ Δίκτυς καὶ ὁ Πολυδέκτης, Ἀνδροθόης τῆς Κάστορος, καὶ Περισθένους τοῦ Δαμάστορος, τοῦ Ναυπλίου, τοῦ Ποσειδῶνος, καὶ Ἀμυμώνης, ὡς Φερεκύδης ἐν πρώτῃ· ἐν δὲ τοῖς ἑξῆς καὶ περὶ τοῦ θανάτου ἀφηγεῖται Φερεκύδης τοῦ Ἀκρισίου, ὅτι μετὰ τὴν ἐν Σερίφῳ ἀπολίθωσιν Πολυδέκτου τε καὶ τῶν σὺν αὐτῷ, ὑπὸ τῆς Γοργόνος κεφαλῆς, Δίκτυν μὲν Περσεὺς ἀπολείπει ἐν τῇ Σερίφῳ, βασιλεύειν τῶν λειπομένων Σεριφίων· αὐτὸς δὲ ναυτίλλεται εἰς Ἄργος σὺν τοῖς Κύκλωψι, καὶ τῇ Δανάῃ, καὶ τῇ Ἀνδρομέδᾳ· καὶ ἐλθὼν, Ἀκρίσιον οὐχ εὑρίσκει ἐν Ἄργει· ὑποχωρήσας γὰρ αὐτὸν δείσας εἰς τοὺς Πελασγοὺς, εἰς Λάρισσαν· μὴ καταλαβὼν δὲ αὐτὸν, τὴν μὲν Δανάην καταλείπει παρὰ τῇ μητρὶ Εὐρυδίκῃ, καὶ τὴν Ἀνδρομέδαν, καὶ τοὺς Κύκλωπας· αὐτὸς δὲ ᾔει εἰς Λάρισσαν· καὶ κο-

Google

κομιδῇ Ἀκρίσιον ἀναγκάζων, ἐ σὺν αὐτῷ ἕπεσθαι εἰς Ἄργος πείθει. ἐπεὶ δὲ ἔμελλον ἰέναι, συναγαγόντες ἀγῶνα εἰσὶν ἐν τῇ Λαρίσσῃ· καὶ ὁ Περσεὺς ἀποδύεται εἰς τὸν ἀγῶνα, καὶ λαβὼν τὸν δίσκον, δισκεύει· τὸ δὲ πένταθλον οὐκ ἦν, ἀλλ' ἰδίᾳ ἕκαστον τῶν ἄθλων ἤθλουν· ὁ δὲ δίσκος τροχαλισθεὶς ἐπὶ τὸν πόδα τοῦ Ἀκρισίου, τιτρώσκει αὐτόν. καμὼν δὲ ἐκ τούτου Ἀκρίσιος, ἀποθνήσκει αὐτοῦ ἐν Λαρίσσῃ· καὶ αὐτοῦ κατατίθεται Περσεύς, καὶ οἱ Λαρισσαῖοι πρόσθεν τῆς πόλεως· καὶ αὐτῷ ποιοῦσιν ἡρῷον οἱ ἐπιχώριοι. Περσεὺς δὲ ἀναχωρεῖ τοῦ Ἄργους.

ΠΕΡΙ ΑΚΤΟΡΙΔΩΝ

Ἀκτορίωνες, οἱ παῖδες τοῦ Ἄκτορος, Κτέατος, καὶ Εὔρυτος, ἀδελφοὶ καὶ σύνδυμοι ῥηθέντες καὶ Μολίονες, παρ' Ὁμήρῳ αὐτῷ δὲ τῆς ὕπερον, Μολιονίδαι ὡς Ὅμηρος μὲν διδύμους ἱστορεῖ καλῶς ὡς δὲ κατ' Ἀρίσταρχον, οὐχ οὕτως, ὅτι κατὰ τοὺς Διοσκούρους, ἀλλὰ κατά τινα τοῦ Ἡσιόδου μῦθον, καὶ διφυεῖς, δύο μὲν ἔχοντες σώματα, συμπεφυκότα δὲ γε ἀλλήλοις. ἄλλως Ἀκτορίωνες, Μολίονος παῖδες. διαφοροῦντες αὐτῷ τῆς παλαιοῖς ὡς μὴ γὰρ καὶ κατὰ τὰς λέξεις πατρωνυμικῶς φασιν, ἵνα λέγῃ Ἀκτορίωνας μὲν ἀναμφιλέκτως, τοὺς Ἀκτορίδας, ὁ δῆλον ὅτι Ἄκτορος. Μολίονας δὲ, ὁ πατρωνυμικῶς καὶ αὐτό, ὅτι Μολίονος πατρός, τοῦ καὶ Ἄκτορος, ὡς κατὰ Ῥωμαϊκὸν ἔθος Ἄκτωρ Μολίων, ἀνομάζετο, ὁ πατὴρ κατὰ διωνυμίαν ὥσπερ οἱ αὐτοῦ παῖδες, Ἀκτορίωνες Μολίονες· ἢ μητρωνυμικῶς ἀπὸ μητρὸς Μολιόνης, ἵνα κλίνοιτο ἀπὸ τοῦ Μολιονίδης, Μολιονίων, ὡς Γεραιονίδης, Πριαμίων, καὶ ἐν συγκοπῇ, Μολίων· μάλιστα δέ, ὡς Ὑπερίονίδης, Ὑπερίονος, Ὑπερίονιος, καὶ ἐν συγκοπῇ Ὑπερίων λέγουσι· καθάπερ διὰ τὸν πατέρα Ἄκτορα, Ἀκτορίωνες, ὅτι καὶ διὰ τὴν μητέρα Μολιόνην, Μολίονες, ἤγουν Μολιονίδαι ἢ Μολίονες, τουτέστι Μολιόνης υἱοί· ἕτεροι δὲ τὸ Μολίονες κατ' ἐπίθετον, ἤγουν ἐπιθετικῶς νοοῦσιν· ἵνα ἡ λέξις δηλοῖ τοὺς μαχίμους καὶ ἐμπολεμικούς· ἢ ἀπὸ τοῦ μῶλος, ἀλλὰ ἀπὸ τῶν ἐν μάχῃ μολόντων, ἐξ ἧς ἐν ἐκτάσει ὁ μῶλος γίνεται· ἢ ἀπὸ τοῦ μόλω ῥῆμα, ἐξ οὗ καὶ Μόλος, ὁ ἐρώτης τοῦ Αὐγέου γαμβρός· καὶ Μόλος ὁμώνυμος τῷ Μόλῳ Ἄκτορι, ὁ τοῦ Μηριόνου, ἢ, κατά τινας, Μολιόνης πατήρ.

ΠΕΡΙ ΑΛΕΚΤΡΥΟΝΟΣ

Ἀλεκτρυόνα ἄνθρωπον ὄντα, φασὶ κατασταθῆναι ὑπὸ Ἄρεως ἐν τῷ οἴκῳ Ἡφαίστου, πρὸς τὸ αὐτῷ τὴν μήνυσιν, διὰ τὴν μοιχείαν τῆς Ἀφροδίτης· ὁ δὲ, ἀποκοιμηθεὶς φωραθέντος δὲ, εἰς τὸ ὄρνεον αὐτὸν μετέβαλεν· ὁ δὲ μεμνημένος τὴν ὥραν ἐκείνην, ἄρχεται ᾄδειν, τὴν τοῦ Ἡλίου προσημαινόμενος ἄνοδον, καθ' ἣν ὁ Ἥφαιστος εἰώθει ἐπανιέναι οἴκαδε.

ΠΕΡΙ ΑΛΕΞΑΝΔΡΟΥ, ΤΟΥ ΚΑΙ ΠΑΡΙΔΟΣ.

Ἀλέξανδρος, ὁ πρότερον μὲν Πάρις καλούμενος, ἀπὸ τῆς πήρας ἐν ᾗ μέρος, ὕστερον ὅπως ἐκλήθη ἀπὸ τῶν λῃστῶν, κωμήτας ἀλεξήσας· ἢ ὅτε τῇ πατρίδι ἠλέξησεν, ὅ τῶν ἐλθόντες, πολέμῳ ἐπελθόντος ἐπιμελησαμένου δὲ Ἀλέξανδρος, παρὰ τὸ ἀπαλλάξαι τῇ πατρίδι τοὺς πολεμίους· ἢ ἀπὸ τοῦ ἀλέξαι τῷ ἀγέλῃ, ἤγουν, βοηθῆσαι ὅτινα ἰδὼν ποιμένες, ἐν τῇ Ἴδῃ ἐκτεθέντα εὑρόντες, καὶ αὐξήσαντες, καὶ παρελθόντα τὸν μειράκιον γάμον αὐτοῦ ἔχοντα ἡ Ἑλένη, νόμισε κατ' ὄναρ, καιόμενον δαλὸν τεκεῖν, ὅστις κατέφλεξε πᾶσαν τε τὴν πόλιν, καὶ τὴν ὕστερον ἐν τῇ Ἴδῃ ὕλην πᾶσαν· ᾗ τε ὀνείρου ἐκεῖ τινὰς μάντεις, καὶ οἱ ἀμφὶ τὰς ὀνείρους ἔλεγον, ὡς εἴη τὸ τεχθὲν παιδίον αἴτιον μέγιστον ὄν, φοβηθεὶς Πρίαμος τεχθέντα δὲ Ἀλέξανδρον, ἐξέθηκεν ἐν τῇ Ἴδῃ, Ἀρχελάῳ οἰκέτῃ παραδεδωκώς· ἐκεῖ δὲ ἄρκτον τόπῳ τινὶ κειμένου ἐθήλασεν καλουμένου ὅπη πάλιν ὁ Ἀρχέλαος εὑρὼν, αὐτὸν ἀνελόμενος, ἀναλαβόμενος, ἐπὶ τῶν χωρίων, ὡς ἴδιον ἔτρεφε, Πάριν καλουμένου· φασὶ τοίνυν αὐτὸν τῷ εἴδει γεγονέναι ἄριστον, ἐπίχαριν τε τὴν φωνήν, καὶ τὰ ἤθη, ἀπὸ τῆς Πελοποννήσου ἐπιμίξαντα καὶ Τροίᾳ μετὰ ἀπαχθεῖσαν πάσῃ, κακοῦ δ' ἂν εἶναι τοῦ πολέμου, ἀλλὰ μάχεσθαι κατὰ τὰς τροπαὶ καὶ τὴν ἐπιστήμην, ἐκεῖσε τόξῳ, μὴ λήσεσθαι τὸν Πατρίκλου καὶ πλῆσαι μετὰ τε τὴν Ἑλλάδα στρατὸν, ἀπὸ δὲ ξίφους τοῦ Μενελάου γενέσθαι αὐτόν, καὶ τὴν Ἑλένην ἐλαύνοντος τοῦ οἴκου. τοῦτον Φιλοκτήτης τοξεύσας, βάλλει πρῶτον κατὰ χεῖρα λαιάν· δεύτερον δὲ ἀποπέμπει αὐτῷ ἄφεσιν, ἐκκόπτει τὸν τε δεξιὸν ὀφθαλμόν· καὶ τρίτον βάλλει κατὰ σφυροῦ ποδός, ὥστε ἀπεκρίθη ἤδη τελευτήσαντα· ὅτε δὲ ἀπελθόντος ἦν ὁ αὐτὸς Ἀλέξανδρος, δηλοῖ καὶ ἡ κιθάρα, ἣν αὐτῷ Ἕκτωρ ὠνείδιζεν· ἐπιλεῖς δὲ καὶ τὰς ὄψεις τῶν χειρῶν, καὶ ὑπόγραπτος ἦν, καὶ λευκός, καὶ τὸ ὄμμα ὑγρὸν ...

ἡ δὲ

ἡ δὲ ἑτέρα θύρας, ὑπερῷον τοῦ οἰκήματος· ἀλλὰ καὶ κόσμου ἕνεκεν, περιέθετο μὲν ἑαυτῷ, ἀνεσκεύαζε δὲ τὰ ὅπλα· δορὰς δὲ παρδάλεων ἐνῆπτε τοῖς ὤμοις· ἀνέχειν δὲ προστάττειν τοῖς κόμαις, καὶ ὁπότε μάχοιτο, ὑπεχεῖν. Ὅμηρος ἔλαφον μὲν αὐτὸν εἰκάζει, ὡς δειλὸν· αἰγὶ δὲ, ὡς ὀχλαγωγόν· τοιαῦτα μὲν γὰρ τὰ ζῷα. Στησίχορος δέ φησιν, ὅτι διηγχομένη Ἀλέξανδρον ἐν Αἰγύπτῳ, ὁ Πρωτεὺς Ἑλένην ἀφελόμενος, εἴδωλον Ἑλένης αὐτῷ ἔδωκε· καὶ οὕτως ἐπλευσεν εἰς Τροίαν.

ΠΕΡΙ ΑΛΕΤΡΙΔΩΝ

Ἀλετρίδες, κόραι τινὲς Ἀθήνησιν ἀπεδείκνυντο, ἐφ' ᾧ τὰ εἰς θυσίαν πόπανα ποιοῖεν· ἦσαν δ' ἔντιμοι καὶ ἀξιάγαστοι παρθένοι, ὅτι τὰ εἰς θυσίας πόπανα ἦγον· ἐφ' οἷς καὶ ἱεράς τινας μύλωνας ἀνεγράφοντο οἱ τὰ Ἀττικὰ συγγεγραφότες. Παυσανίας δὲ λέγει, ὅτι ἀλετρίδες, αἱ τὸν ἱερὸν ἄλευρον ἀλοῦσαι· ἐλέγοντο δὲ τινὲς παρθένοι, αἳ τὰ εἰς θυσίας πόπανα ἦλον, καὶ ἔντιμοι ἦσαν.

ΠΕΡΙ ΑΛΚΙΜΕΔΗΣ

Ἀλκιμέδη, ὡς Φερεκύδης καὶ Ἀπολλώνιος ἱστοροῦσι, μήτηρ μὲν ἦν Ἰάσονος, θυγάτηρ δὲ Φυλάκου· Ἡρόδωρος δὲ, Πολυμήδην φησὶν εἶναι τὴν Ἰάσονος μητέρα, θυγατέρα δὲ Αὐτολύκου. Ἄνδρων δὲ ἐν τῇ ἐπιτομῇ τῶν συγγενειῶν, Θεογνήτην τὴν Λαοδίκου μητέρα, Ἰάσονος γεγονέναι φησίν.

ΠΕΡΙ ΑΛΚΥΟΝΙΔΩΝ ΗΜΕΡΩΝ

Ἀλκυών, θαλάσσιον ὄρνεόν ἐστι, παρὰ τὸ ἐν ἁλὶ κύειν, ἤγουν ἐν θαλάσσῃ· λέγεται παρωνομαστικῶς καὶ ἀλκυόνες φασὶ δὲ, ὅτι τὸ κῦμα ἀποκύει καλῶς τὰ ᾠά, καὶ ἐπειδὰν νεοττεύῃ, ὁ Ζεὺς ἐλεήσας αὐτὴν, ὥρισεν ἡμέρας νηνεμίας ἑπτὰ, ἢ, ὥς τινες, ιδ', Ἀθηναῖοι ποιοῦσιν ἐν αἷς τίκτει παρὰ τοῖς αἰγιαλοῖς, καὶ ἐκγλύφει ἐστὶ, ἃς λέγουσιν ἀλκυονίδας· αἱ ἀλκυονίδες ἡμέραι καλοῦνται, εἰσὶ πρὸ τοῦ τίκτειν, καὶ ὅταν μετὰ τὸ τίκτειν, ἐν μέσῳ χειμῶνι, καὶ γαλήνην ἔχουσι· καὶ περὶ τὸν ἀριθμὸν διαφέρονται. Σιμωνίδης μὲν γὰρ ἕνδεκα φησὶν αὐτάς, καὶ Ἀριστοτέλης· Δημαγόρας δὲ ὁ Σάμιος, ἑπτά· Φιλόχορος δ' ἐννέα· ὅτε δ' καὶ δεκαπέντε εἶσιν, ἱστορεῖ λέγων. Παυσανίας δ' μυθεύει ἐπ' αὐταῖς καὶ τοῦτό φησιν. Ἀλκυονέως τοῦ γίγαντος θυ-

γνώμης. Φθονία, Ἄνθη, Μεθώνη, Ἀλκίππη, Παλλήνη, Δρυμαῖς, Ἀστερίη, μετ' ἣν τῷ πατρὶ πλάνην, ἀπὸ Κολώνης, ὁ ἦν μὲ, Ἀστερίη, μετὰ [illegible] τῷ ἀδελφῶν [illegible] ἔρριψαν ἄκρου Παλλήνης, μυχεῖ τῆς θαλάσσης. Ἀμφιτρίτη δ' αὐτὰς ἰχθύας ἐποίησε, ἐκ τοῦ πατρὸς Ἀλκυόνος [illegible], ὅθεν καὶ Ἀλκυονίδες, ἀπὸ τοῦ πατρὸς Ἀλκυόνεως ἐκλήθησαν, ὅσα [illegible] Πευκάωνι, ἐν Ἀλκυόσιν, [illegible] ἴσον δὲ, ὅτι κηλῶν κατὰ Πευκάωνι [illegible] [illegible] γαμήσαντες, φησὶν, ὑπὸ τῆς θηλείας βαστάζονται. κοῦται δὲ ὁ γένος κήρυλος καὶ [illegible] τῷ Κωμικῷ, παροξυτόνως μίνται δὲ [illegible] Α, ἐν τοῖς πλείοσι τῶν ἀντιγράφων· σημειοῦται ὅτι [illegible] Ἀλκυόνη δὲ, καὶ κυρίως, Ἀλκίων μετὰ Ἀλκυόνος, τῆς ἀρχαίας Ἀλκυόνης δὲ, καὶ κυρίως, τὴν Κλεοπάτρας, τῆς παρωνύμου τῷ ὀρνέῳ [illegible] ἡ Κλεοπάτρα [illegible] καὶ τῷ Ἕκτορι ὁ υἱὸς, καὶ ἄλλα, [illegible] μετὰ τῆς πατρὸς [illegible] μόνον τῶν φιλτάτων ὀνομαζομένη ἐν μεγάροις, ὡς [illegible] [illegible] τὸν δ' [illegible] ὑπὸ τῆς [illegible] καὶ ὅτι ὁ [illegible] ὅτι ἡ Κλεοπάτρα [illegible] τῆς Ἀλκυόνης ἔσχεν [illegible] [illegible] ἄλλως δὲ [illegible], [illegible] [illegible]. Ἀλκυόνος [illegible] δὲ [illegible] Ἀλκυόνος φησὶ, [illegible] [illegible] [illegible] ἦν δὲ ἡ Κεῦκος τῷ [illegible] [illegible] [illegible] [illegible] μεγίστη [illegible], ὡς [illegible] [illegible] [illegible], ὡς [illegible] ὀνόματι καλεῖσθαι καὶ ὁ [illegible] [illegible] Δία, ὁ δὲ, Ἥρα, καὶ ποτὲ ἐν θαλάσσῃ αὐτῷ [illegible], ὁ Ζεὺς ὀργισθεὶς, αὐτὴν [illegible], καὶ τὴν [illegible] [illegible] [illegible] [illegible] τὸ τοῦ ἀνδρὸς θάνατον [illegible] [illegible] ἐξ [illegible] Ζεὺς, [illegible] καὶ ἐκεῖνον δὲ [illegible] μετέβαλεν, ὃν κήρυλον καλοῦσιν. [illegible] δὲ περὶ τῶν [illegible]. ἐν τῇ θαλάττῃ [illegible] διὸ κατὰ Δίος [illegible], [illegible] [illegible], Ἀλκυονίδας καλουμένας, [illegible] ἔχει [illegible] ἐν [illegible] [illegible], ἐκβάλλει τὰ νεοττάς.

ΠΕΡΙ ΤΩΝ ἈΛΙΤΗΡΙΩΝ

Ἀλιτήριοι [illegible] ἐκαλοῦντο οἱ [illegible] παρ' Ἀθηναίοις, ὅτι λιμοῦ καταλαβόντος ποτὲ αὐτοὺς, οἱ [illegible], [illegible] ἔλαιον [illegible] ἥρπαζον ἀπὸ γῆς ἐκείνου [illegible] καὶ τὰς [illegible], καὶ [illegible], καὶ [illegible] [illegible], [illegible] [illegible] [illegible] δὲ τὸ ὄνομα, καὶ [illegible] τῶν μετὰ βίας τι [illegible], ἀπὸ [illegible] τῆς κατὰ τὸν Ἀιτωλικὸν πόλεμον γενομένης.

ΠΕΡΙ ἈΛΟΣΥΔΝΗΣ

Ἀλοσύδνη, μία ὁ μῦθος ἐστὶ τῶν Νηρηΐδων· διὸ καὶ καλὴ αὕτη λέγεται ποιητικῶς· ἄλλοι μέντοι καὶ ἡ Ἀλοσύδνη, ὡς καὶ τὸ ὕδωρ ἄγγελοι λέγουσι· ὅπερ δέ, Ἀμφιτρίτης ἐπίθετον εἶναι φασί· καὶ οὐδὲ παρὰ τὸ ὕδωρ ἐτυμολογῆσαι τὴν λέξιν, ἀλλὰ παρὰ τὸ ἐν ἁλὶ συνεῖναι, ὅ ἐστι σημαίνει. Ἴσθι δέ, ὡς κτῆμα τῆς Ἀλοσύδνης αἱ φῶκαι πλάττονται· ἐπεὶ φῶκας Ἀλοσύδνης αὐτὰς ἀναγινώσκουσί τινες, οὐκ οὕτως, Ἀλοσύδνης· διὸ καὶ ὅρα τὸν Πρωτέα ὁ Ποιητὴς ἐν μέσαις αὐταῖς κοιτᾶν, ὡς νομέα ἐν ποίμνῃ μήλων· ἃ δὴ καὶ αὐτὰ ἀλλότρια κτήματα. τινὲς δὲ ὑπέθεντο τοιαύτην συγγενικῶς ὑπὸ φρασθῆναι. νέποδες γάρ φασι θαλάσσης αἱ φῶκαι, ὅ ἐστιν ἁλός· νέποδες γάρ, κατὰ τὰς γλώσσας, οἱ ἀπόγονοι, καὶ ἀλοσύδνη σημαίνεται ὅτι καὶ μία τῶν Νηρηΐδων παρὰ τῷ Ποιητῇ, ἀλλὰ τῆς Θέτιδός ἐστιν ἐπίθετον ἐν τῇ Ἰλιάδι· ἐν μέντοι τῇ Ὀδυσσείᾳ εἰσὶ Νηρηΐδων ἔγγονα αὗται, ἐν τῷ,

— Φῶκαι νέποδες καλῆς Ἀλοσύδνης.

ἵνα μὴ ἄρα θαλάσσης εἴη ἐκεῖ ἐπίθετον.

ΠΕΡΙ ἈΛΩΑΔΩΝ.

Ἀλωάδας γηγενεῖς εἶναι Ἐρατοσθένης φησί· διὰ δὲ τὸ ἀνατετράφθαι ὑπὸ τῆς Ἀλωέως γυναικός, μυθευθῆναι ὡς Ἀλωέως εἶναι υἱούς. Ἡσίοδος δέ, Ἀλωέως καὶ Ἰφιμεδείας κατ' ἐπίκλησιν· ταῖς δὲ ἀληθείαις, Ποσειδῶνος καὶ Ἰφιμεδείας αὐτοὺς καὶ Ἄλον πόλιν Ἀσπληδόνας ὑπὸ τοῦ πατρὸς αὐτῶν ἐκτίσθαι· ἧς Ὅμηρος μνημονεύει·

Οἵ τ' Ἄλον εἶχον —

ἔστι γὰρ τὴν περὶ τόπους ἱστορίαν καὶ αὐτός.

ΠΕΡΙ ἈΜΑΔΟΚΩΝ

Ἀμάδοκοι, δύο γεγόνασι, πατὴρ καὶ υἱός, ὡς Ἰσοκράτης Φιλιππικῷ· οἱ καὶ Φιλίππῳ συμμαχήσαντες, ἦλθον εἰς τὸν κατὰ Κερσοβλέπτου πόλεμον· ἀμφοτέρων μέμνηται Θεόπομπος ἐν πρώτῳ τῶν Φιλιππικῶν.

ΠΕΡΙ ἈΜΑΖΟΝΩΝ

Ἀμαζόνες, Ἄρεως μυθεύονται ἀπόγονοι εἶναι, καὶ Ἁρμονίας νύμφης Ναΐδος· καλοῦνται δὲ οὕτως, ἢ παρὰ τὸ πρῶτον ἐκτεμεῖν τῶν

τῶν

τῶν μαζῶν, [illegible], ὡς ἂν μὴ ἐμποδίζοιντο ἐν τῷ τοξεύειν, ὥσπερ περὶ τοῦ Ποιητοῦ ἐπὶ τῶν τοξευόντων·

Νευρὴν μὲν μαζῷ πέλασεν, τόξῳ δὲ σίδηρον

ἢ διὰ τὸ τῷ πλήθει μὴ χρῆσθαι μαζαῖς, κρέασι δὲ, καὶ ἔτι χελώναις, ὡς αἱ ἱστορίαι φασὶ, καὶ σαύραις καὶ ὄφεσιν· ὅτι δὲ τὸ Α σημαίνει ποτὲ καὶ μόνωσιν, δῆλον ἐκ τοῦ ἁπλᾶ, ὅπερ δὴ μόνον [illegible], [illegible] ἐν τέλει. λέγονται δὲ, καὶ ἐπὶ [illegible] ἰσχύσαι, ἄλλως τε [illegible], καὶ τὴν Φρυγίαν, ἡγησαμένης αὐταῖς τῆς στρατηγίας Μελανίππης καὶ [illegible] Ἀμαζόνες ἄλλαι τε, καὶ Ἱππολύτη, ἡ Θησέως [illegible] γυνὴ Ἀντιόπη, Ἄνεια, Ἀνδρομάχη, Τρύλλα, Ἱπποκράτεια, Θόβα, Ταλία, Σμύρνα, Ἄλκη, Γλαύκη, Πενθεσίλεια· [illegible] Ἀμαζόνες ἐκαλοῦντο, διὸ καὶ Ἀμαζόνες ἐλέγοντο, καὶ ἡ τοῦ Γεωγράφου ἱστορία δηλοῖ. Ἔπειτα δὲ τὴν Ἀρπαλύκην [illegible] θυγάτηρ Ἀμαζόνος [illegible] Ἡρακλέους [illegible], ἐπὶ [illegible] Ἱππολύτης ἐστάλη ζωστῆρα, [illegible] Ἀρμόθο, [illegible] Ἔφεσον [illegible], [illegible], ἀπὸ τοῦ, [illegible] λέγοντα, [illegible], ἀλλ' [illegible] βαρβάρων [illegible] αἱ Θρῇσσαι, [illegible] τῆς [illegible] πολεμίων γυναῖκες· Ἀμαζόνες δὲ τὸ γένος, καὶ μάχιμαι ἀγαθαὶ ἦσαν.

ΠΕΡΙ ΤΗΣ ΑΜΑΛΘΕΙΑΣ, ΚΑΙ ΤΟΥ ΚΕΡΑΤΟΣ ΑΥΤΗΣ

Ἀμάλθεια, ἡ τροφὸς τοῦ Διός· [illegible] Ἡρακλέα [illegible], [illegible] ἐμυθολόγησαν. Ἀμαλθείας δὲ κέρας [illegible], [illegible] Ἑρμῆς Ἡρακλεῖ ἔδωκε τὸ κέρας, [illegible] Ἀμαλθείας [illegible] κέρας [illegible], [illegible] ὁ Ἡρακλῆς [illegible] αὐτὸ πλῆρες τῶν

ἐγ-

ἐγκεκρυμμένης λεγόμενον, ὃ χρηστομαθὴς ἐζήτει πρὸς τιμήν, λέγεται ἐντεῦθεν ἐνδιδόντες αὐτοῖς, ὡς ἅμα τοῦ Ἡρακλέους τὸ τῆς Ἀμαλθείας κέρας ἐκβλύζει τῶν ἀγαθῶν οὐ τὸ τῆς μαθήσεως αἰγὸς, τῆς θρεψαμένης τὸν Αἰγίοχον Δία, ἀλλὰ τὸ τῆς ῥαθυμίας γραφῆς. ἄλλοι δὲ τὸ τῆς Ἀμαλθείας κέρας, ὅπερ ἦν ἔχων τὸ κατὰ τὸν Ἡρακλέα, τὸ πλήρωμα φασὶ τῆς διαίτης εἶναι, καὶ τὸν ποτε κατ᾽ ἀρετὴν βίον ἀπέπτυσε ἀκολασίᾳ μιγνύμενος ἀδεῶς, καὶ ἐκκαθαίρων κακὰς τῶν γῆν, οὐ μελετήσας ἔσχεν, ἀλλὰ πληρούμενος τῆς ἡδονῆς ἀποστρεφόμενος καὶ τοῦτο ἦν τὸ τῆς Ἀμαλθείας κέρας, ἡ ἀμαλθεία πρὸς πάντας ἀπεστραμμένη τοῦ ἥρωος. ὅτι μήτε ἐμελέτησεν ἀσκητὴν, ἀνεπιτήδειος ὢν γυναικὸς, καὶ σκευοφορούμενος, καὶ ἱμάτια περιβαλλόμενος θέλοντα, καὶ καίτοι πρὸς ψυχὴν ἐγυμνάζετο, ἀλλ᾽ ἐθέλχθη, καὶ ἐπιμελήθη, πρὸς τρυφὴν ἀποκλίνας, κατακτείνει ὁ λόγος τὸν ἥρωα, τὴν ἐκ τῆς περιβολῆς θάλψιν εἰς πῦρ αὐτοῦ ἀναλύψας.

ΠΕΡΙ ΑΜΥΜΩΝΗΣ

Ἀμυμώνη, θυγάτηρ τοῦ Δαναοῦ.

ΠΕΡΙ ΑΜΦΙΔΡΟΜΙΩΝ

Ἀμφιδρόμια, ἑορτή τις ἦν, ἣ ἤγετο ἐπὶ τοῖς νεογνοῖς παιδίοις· ἐν ᾗ τὰ βρέφη περὶ τὴν ἑστίαν ἔφεροι τρέχοντες, καὶ ὑπὸ τῶν οἰκείων καὶ φίλων πολύποδας καὶ σηπίας ἐλάμβανον· ἢ, κατά τινας, Ἀμφιδρόμια, ἡμέρα πέμπτη τοῖς βρέφεσιν ἐκ γενέσεως ἦν ἀχθεῖσα, καθ᾽ ἣν ταύτῃ καθαίρουσι τὰς χεῖρας αἱ συναψάμεναι τῆς μαιώσεως, καὶ τὸ βρέφος περὶ τὴν ἑστίαν φέρουσαι, τρέχουσι κύκλῳ, καὶ τοὔνομα τίθενται τούτῳ, δῶρά τε πέμπουσι τῷ παιδὶ, καὶ ἐπιπολὺ πολύποδας, οἵ τε φίλοι, καὶ οἰκεῖοι, καὶ ἁπλῶς οἱ προσήκοντες, καὶ ἄλλως Ἀμφιδρόμια, ἑορτὴ ἣν Ἀθήνησι ἐπετέλουν καθ᾽ ἣν ἐγχυτρίζειν ἄρτι ἐκτεθὲν ἐκ τῆς ἑστίας, γεννηθέντι· τὸ δ᾽ αὐτὸ ποιοῦσι, καὶ μετὰ σκαλῆς τὸ βρέφος περὶ τὴν ἑστίαν περιφέρουσιν ἐπειδὰν χειροτροφῆται, ἡ τροφὸς καὶ τινὰ περιφέρουσα· μέμνηται Πλάτων ἐν Θεαιτήτῳ· "τοῦτο μὲν δὴ, ὡς ἔοικε, μόγις ἐγεννήθη, ὅτι δή ποτε τυγχάνει ὄν· μετὰ δὲ τὸν τόκον τὰ ἀμφιδρόμια, ὡς ἀληθῶς ἐν κύκλῳ, περιθρεκτέον τῷ λόγῳ."

ΠΕ-

ΠΕΡΙ ΤΟΥ ΑΛΦΕΙΟΥ ΠΟΤΑΜΟΥ

Ἀλφειὸς, ποταμὸς ἐπὶ τῆς Ἀρκαδίας. Ἀρκαδία δὲ, πόλις ἐπὶ τῆς Πελοποννήσου· ἔστι δὲ καὶ πηγὴ ἐν Σικελίᾳ ἐν τῇ νήσῳ, Ἀρεθούσῃ ὀνόματι. λέγεται δὲ ὅτι ὁ Ἀλφειὸς ἠράσθη τῆς πηγῆς τῆς Ἀρεθούσης καὶ ἐραστὴς, διελθὼν τὸ πέλαγος, ἀναδίδοται ἐν Σικελίᾳ ἐπὶ τὴν Ἀρέθουσαν πηγὴν, μὴ συναναμιχθεὶς τῇ ἁλμυρίδι τῆς θαλάσσης· ἀλλὰ καθαρὸν τὸ νᾶμα διαφυλάττει πρὸς τὴν ἐρωμένην.

ΠΕΡΙ ἈΝΙΠΤΟΠΟΔΩΝ ΚΑΙ ΧΑΜΑΙΕΥΝΩΝ

Ἀνιπτόποδας, χαμαιεύνας, ὡς μὲν ἐνίοι τοὺς Σελλοὺς, ἀπολλοῦσι ἀρχαίους καὶ χαμαιεύνας μὲν, ὡς κάτω ἀεὶ γῆν αὐτοὺς κειμένους, καὶ μὴ ἐπὶ στιβάδων, ἢ δεμνίων, ὑπνοῦντας· ἀνιπτόποδας δὲ, ὡς μὴ προσιόντας τῷ ἱερῷ, καὶ διὰ τοῦτο, μηδὲ ἐκβάλλοντας ποδόνιπτρα· ὃ καὶ ἐν τῷ Εὐκλείδῃ Ἐρεχθεὶ δηλοῦται, αἰτίοντες, ὅτι πηγαῖς οὐχ ὑγραίνοντι πόδας. ἕτεροι δὲ τεμνόμενοι πιστὰς συντίθεισι ἔννοια χαμαιεύνας μὲν, ἀνιπτόποδας δὲ τὸ πόρει, χαμαὶ μὲν ἀναζώμενοι, ἀνιπτόμενοι δὲ τῶν κάτω τοῖς διανοίας, διὰ τὴν ἐν Δελφοῖς μαντείας φιλοσοφίαν. ἄλλως Σελλοὶ, ἱερεῖς Δωδωναῖοι· ἐν τούτῳ ἱερεῖς τῆς φηγοῦ προσεδρεύοντες· ἐν αὐτῇ δὲ τῇ φηγῷ, μαντεῖον ἦν τοῦ Διὸς ἡ καλουμένη Δωδωναία ὁμοῦ· ἦσαν οἱ ἱερεῖς, οἳ τὰ τοῦ θεοῦ ἱερὰ θεραπεύοντες, οὐ νίπτοντες, οὐ λούοντο, οὐ ἐν κλίνῃ ἐκάθευδον, ἀλλὰ χαμαί, ὡς φησὶν ὁ Ποιητὴς ἐν τούτῳ τῷ ἔπει·

——— Ἀμφὶ δὲ Σελλοὶ
Ναίουσ' ὑποφῆται, ἀνιπτόποδες, χαμαιεῦναι.

ΠΕΡΙ ΤΟΥ ἈΣΤΡΟΝΟΜΕΙΝ, ΚΑΙ ἈΡΙΘΜΟΝ ΚΑΙ ΛΟΓΙΣΜΟΝ ΕΥΡΕΙΝ, ΚΑΙ ΘΥΕΙΝ ΚΑΙ ΓΕΩΜΕΤΡΕΙΝ ΚΑΙ ΠΕΡΙ ὈΝΕΙΡΟΜΑΝΤΕΙΑΣ, ΚΑΙ ΟἸΩΝΙΚΗΣ

Ἀστρονομίαν αὐτοὶ πρῶτοι λέγονται εὑρηκέναι Βαβυλώνιοι διὰ Ζωροάστρου· ἐκ τούτου δὲ ἐδέξαντο Αἰγύπτιοι, ἐν τῷ κέντρῳ τῆς γῆς καὶ τῆς διαιρέσεως τῶν χωρῶν προσλαχόντες· ταῦτα δὲ ὕστερον συγγράψαντες καὶ χρησάμενοι, εὐδοκίμησαν. ὁ Πλάτων δ' ὅμως ἐν Φαίδρῳ Αἰγυπτίους λέγει πρώτους, ἀριθμὸν καὶ λογισμὸν εὑρεῖν καὶ γεωμετρίαν καὶ ἀστρονομίαν· ἔτι δὲ πεττείας τε καὶ κυβείας, καὶ δὴ γράμματα· οἱ δὲ ὕστερον ὀνειρομαντείας, καὶ τὴν

παρ'

παρ' Ἕλλησι τεττάρων σημειωθῆναι ὑπὸ Πλάτωνος· ἀλλὰ τῶν τὰ λεγόμενα τερατοσκοπικά· κατηγγέλθη γάρ τε πλῆθος, ὥσπερ ἐν τῇ τερατοσκοπικῇ ποιήσει, δι' ὧν τὰ κινήματα τῶν ἄλλων ἐκ τῆς σελήνης, ἔτι δὲ καὶ τὰ ἐκλειπτικά, πραγματεύονται οἱ Αἰγύπτιοι. τὰ δὲ θύειν Θεοῖς, οἱ Χαλδαῖοι ἐξεῦρον· ἢ οἱ Κύπριοι· διαφωνεῖται γὰρ ἡ ἱστορία. Χαλδαῖοι δὲ, ἔθνος Περσικόν. τὴν δὲ μαγείαν, Μῆδοι εὗρον· διαφέρει δὲ μαγεία, γοητείας καὶ γοητεία, φαρμακείας· ὅτι ἡ μὲν μαγεία, ἐπίκλησίς ἐστι δαιμόνων ἀγαθοποιῶν δῆθεν πρός ἀγαθοῦ τινος σύστασιν· ὥσπερ τὰ τοῦ Ἀπολλωνίου τοῦ Τυανέως θεσπίσματα δι' ἀγαθοῦ γεγόνασι. γοητεία δέ ἐστιν, ἐπίκλησις δαιμόνων κακοποιῶν περὶ τοὺς τάφους γινομένη ἐπὶ κακῷ τινος τελουμένη· γοητεία δὲ λέγεται ἀπὸ τῶν γόων καὶ τῶν θρήνων τῶν περὶ τοὺς τάφους γινομένων. φαρμακεία δὲ, ὅταν διά τινος κράσεως θανατηφόρου δοθῇ τινι πρὸς φίλτρον, ἢ καὶ ἄλλως πως διὰ στόματος τὰ δὲ τῆς διαίρας ἱερῶν διακρίνειν, πρῶτον λέγεται ὁ ἐκ Τελμισσοῦ πόλεως Γορμοβώλιος· αὕτη δὲ παλαιοτάτη πόλις, ὡς δὲ ἐπὶ τῶν χρόνων Κροίσου. ἔλεγον γὰρ, οἱ γεγονέναι τι παράδοξον, ὅτι τόδε σημαίνει· καὶ πάντας ὅσα ἐν αὐτοῖς, συνέβαινεν ἐξήγησιν· τὰ δὲ οἰωνικόν, τὸ μὲν ἐστιν οἰωνοσκοπητικόν, ὃ ἐξεῦρον Φρύγες· τὸ δὲ, ὀικοσκοπητικὸν τόδε, ἐξεῦρον· τὸ δὲ, χειροσκόπον· τὸ δὲ, παλματικὸν ὀρνεοσκοπητικὸν δέ ἐστιν, ὅταν ἐντυχὼν τόδε, ἢ τόδε ἀριθμὸς, ἢ ἔμπροσθεν, ἢ ὄπισθεν, ἢ δεξιᾶ, ἢ ἀριστερᾶ, εἴπωμεν ὅτι τόδε σημαίνει. λέγεται δὲ τοῦτο εὑρηκέναι πρῶτος Τηλέγονος· οἰκοσκοπητικὸν δέ ἐστιν, ὅταν τι ἐν τῷ οἴκῳ συμβαίνοντα ἐξηγῶνται, καὶ εἴπῃ, τόδε σημαίνει· οἷον ἐὰν ἐν τῇ σιγῇ ἔσωθεν γαλῆ, ἢ ὄφις, ἢ μῦς· ἢ ἐκχυθῇ ἔλαιον, ἢ μέλι, ἢ οἶνος, ἢ ὕδωρ, ἢ πόμα, ἢ ἄλλο τι, ὅτι τόδε σημαίνει· ταῦτα δὲ συνεγράψατο Ξενοκράτης· ἰνδάλμα δέ ἐστιν, ὅταν ἐξηγῶνται τι ἐν τῷ ὕπνῳ φαντάσματα, ὅτι ἐὰν φαντασθῇ τις τόδε δοξάζων, τόδε σοι συμβήσεταί σοι δὲ ἡ δόξα, τόδε. ὅπερ συνεγράψατο Πύθων. χειροσκόπον δέ ἐστιν, ὅπως διὰ τῆς ἐκτάσεως τῶν χειρῶν, καὶ διὰ τῶν μορίων, εἴπωμεν, ὅτι τόδε αὐτῷ μένει, ἢ ὅτι μακρόβιος, ἢ ὅτι πολύτεκνος, ἢ τε πένης· ὃ συνεγράψατο Ἕλενος. παλματικὸν δέ ἐστιν, τὸ διὰ τῆς πάλσεως τοῦ σώματος γνωριζόμενον· ὅταν ἐὰν πάλλῃ ὁ δεξιὸς ὀφθαλμὸς, τόδε σημαίνει, ἢ ὁ μηρὸς, ἢ ὁ ὦμος ἢ τι τῶν τοῦ σώματος· ὃ συνεγράψατο Ποσειδώνιος.

ΠΕΡΙ ΑΛΟΥΡΓΙΔΟΣ, ΗΤΟΙ ΤΗΣ ΠΟΡΦΥΡΑΣ ΒΑΦΗΣ, ΙΣΤΟΡΙΑ

Ἁλουργίδα φασὶν εὑρεθῆναι ἐν Τύρῳ τῆς Φοινίκης, τοιῷδε τρόπῳ· κύων τις ποιμενικὴ περιτυχοῦσα, εὑροῦσα κογχύλιον, ἔφαγε· ὅτε τὸ αἷμα τοῦ κογχυλίου ἔβαψε τῆς κυνὸς τὸ στόμα· ὁ ποιμὴν νομίζων πεπλῆχθαι τινὶ τὴν κύνα, λαβὼν ἔριον, ἀπέμαξε τοῦ στόματος τῆς κυνὸς τὸ αἷμα· ἐβάφη δὲ τὸ ἔριον, καὶ ἐγένετο κάλλιστον· τὸ δὲ ἔριον τῆς πορφύρας ἀναδεδειγμένον βασιλεῖ ἔστειλεν. ἐγνωκὼς ὁ ποιμήν, ὅτι τὸ κογχύλιον τοιαύτην ἔχει φύσιν βαπτικήν, ἐδημοσίευσε αὐτὸ τοῦτο· καὶ οὕτως συνάγοντο ἐν τῇ θαλάσσῃ τὰ κογχύλια κατασκευάζοντα τὰς πορφύρας.

Καὶ ἄλλως. περὶ πορφύρας ἀκριβεστέρως καὶ τὴν ἀληθῆ ἱστορίαν, ὅπως τὴν ἀρχὴν εὑρέθη, καὶ πῶς τὰ ζῶα νῦν οἱ Φοίνικες θηρῶνται.

Τύριοι λέγουσιν, ὡς Ἡρακλῆς ἠράσθη νύμφης ἐπιχωρίας· Τύρος δ' ἦν τῇ νύμφῃ τοὔνομα· εἵπετο δ' ἄρα τῷ Ἡρακλεῖ καὶ κύων, κατὰ τὸν παλαιὸν νόμον· ἦσθα γὰρ ὅτι τοῖς ἥρωσι συνιστάτο μάχαις τοῖς ἱππηλασίαις αἱ κύνες. ὁ τοίνυν Ἡρακλέους κύων κατὰ πέτρας ἐρπουσαν πορφύραν θεασάμενος, κατέφαγεν αὐτῆς τὰς σάρκας, ὑδατώδη, ὁ μὲν, τὴν σάρκα ποιεῖται τροφήν· ὁ δὲ λύθρος ὥρα τὰ χείλη τοῦ κυνὸς αἱμάξας, ἐφοίνιξεν· ὡς δὲ ἧκεν ὁ ἥρως παρὰ τὴν κόρην, ἰδοῦσα πεποικιλμένα τὰ χείλη τοῦ κυνὸς αὐτίκα τῇ χροιᾷ ἔφη μηδὲ πρόσοιτο τὸν Ἡρακλέα, εἰ μὴ αὐτῇ κάλλιστον ἐσθῆτα, τῶν τοῦ κυνὸς χειλῶν ἐνδεέστερα· ὁ γὰρ Ἡρακλῆς ἐξεῦρέ τε τὸ ζῶον, καὶ τὸ λύθρον συνελέξατο· καὶ τὸ δῶρον ἔπεμψε τῇ κόρῃ πρῶτος γενόμενος. εὑρετὴς, τῷ Τυρίων λόγῳ, τοῦ φοινικοῦ βάμματος. νῦν δὲ οἱ Φοίνικες ὧδε θηρῶσι τὸ ζῶον, καὶ τὸ ἔργον χρονιώτερον δηλώσω, ὡς ἀκριβέστατα· σχοινίον πλεξάμενοι πάμμακρον, ἐγχέουσι τε καὶ κηρυκίου, αἱ σύνθηκαι ταῖς θαλαττίοις δίνας, τοὺς συνεχεῖς ὥσπερ κύδωνα. ἐξαρτῶσιν ἐν μετεώρῳ διαχεαμένοι κύψελας, ἐν αὐταῖς τούτοις ἐκ χορδῶν, τὰς κυψέλας πλεξάμενοι· τὰ γὰρ τῶν ἀνέμων, ὁ τῶν χειμῶν, πλὴν ὅσα τοῖς στόμασι τῶν κυψελῶν ἐξεκέκλειστο αἰσχρὸν ἐῶσι· ἀεὶ τὸ μὴ ταχέως ῥᾳδίως εἴκειν καὶ διέκπλω, ἀναχωροῦντες δὲ εἰς τὸ πελάγος, μακρὰ ποντοπορίᾳ, τὸ περιλαβόντες ἐκδιδόασι ταύτας τὰς κυψέλας δελεάσαντες τὴν πορφύραν, ἐν τοῖς πετρώδεσι καθιᾶσι,

τὸ

τῷ χαλκῷ φυλλῷ τινος κάμψαντες, ὡς αἰσχύνει τὸ θρέμμα. διαλύοντες δὲ ὕδατι καὶ κεκομμένοντες, ὡς ἐπειδὰν τὰς κυψέλας ἐμβάλλουσι τὸν ζῶον ἐκείνων ὕστερον συνήρμοσαν τὸ θρέμμα ἐν ἑαυτῷ, καὶ τὴν σάρκα περιχρίσαντες, καὶ θαλαττίῳ ὕδατι τὴν ἀπὸ ἀποκαθήραντες, ἐνέψησαν ἐμβάψαι λάβοιεν τὸ θρέμμα τὸ θαλάττιον· τὸ δ' αἷμα, ἐπειδὰν τῷ ἀέρι ὁμιλήσῃ, χλωρόν τε καὶ ἐξερυθρὸν· καὶ τὸ μὲν, ξανθίζεται· τὸ δὲ, κυάνεον αὐτοῖς γίνεται· τὸ δ' ἄλλο ὡς ἄλλην χρόαν τρέπεται· καὶ ὅτε ἐν κεκαθαρμένῳ τὸ συγγραφῆναι τῷ αἵματι, πρὸ τὴν λευκὴν χρόαν μετασχηματίζεται· χρόαν δὲ ἡλίου ὁμιλήσαντος τῆς πορφύρας ἡ ἐσθὴς καὶ ἡ ἀκτὶς αὐτὴν ἐκπορφύρεῖ καὶ πλείω ποιεῖ, καὶ φαιδροτέραν τὴν αὐγὴν, ἐκφαινομένην ἐκ τοῦ ἀπὸ πυρός.

ὍΤΙ ἈΙΓΥΠΤΙΟΙ ΔΙΑΦΟΡΑ ΤΩΝ ΖΩΩΝ ἘΣΕΒΟΝΤΟ

Οἱ Αἰγύπτιοι ἐσέβοντο τοὺς ἴβεις, τοὺς κροκοδείλους, τοὺς ὄφεις, τοὺς αἰλούρους, καί τινα τῶν ἰχθύων γένη καὶ ἄλλα γε τιμὰς αὐτοῖς ἀπονέμοντες· περὶ δὲ τούτων ἀκριβέστερον φησὶν ὁ Ἡρόδοτος, ὁ δὲ περὶ πάσης αὐτῶν τῆς θρησκείας, ὁ τῶν Σεβήρων, ἀκριβῶς καὶ διὰ πλάτους συγγεγραμμένος.

ΠΕΡΙ ἈΝΘΕΜΟΚΡΙΤΟΥ

Ἀνθεμόκριτος, Ἀθηναῖος μὲν ἦν κῆρυξ· ἀπέθανε δὲ ὑπὸ Μεγαρέων, ἀναγράψας αὐτοὺς τὴν ἱερὰν ὀργάδα τῶν θεῶν μὴ ἐργάζεσθαι. Ἵσταται δὲ τῷ ἀνδρὶ Καλλιδώκῃ τὸ, ὡς βελτίω, τὸ παρ' Ἀνθεμοκρίτου τὸν ἀνδριάντα, τυπεῖ, τὸ πρὸ τῆς Θριασίας πύλης.

ΠΕΡΙ ἈΝΤΙΚΛΕΙΑΣ

Ἀντίκλειαν εἶναι τὴν Ὀδυσσέως μητέρα, Σέλευκος ὁ Χῖός φησι· καὶ ἐγκύμονα ἐκδεδόσθαι Νήριτον, τὸ τῆς Ἰθάκης ὄρος, ἀπαντῶς πολλῷ ὕειν, ὑπὸ ἀγωνίας καὶ φόβου κατασπεύσασαν, τεκεῖν Ὀδυσσέα· ὅθεν καὶ Ὀδυσσεὺς ἐκλήθη.

ΠΕΡΙ ἈΝΤΙΝΟΟΥ

Ἀντίνοος, Ἰθακήσιος, εἷς τῶν μνηστήρων, ὥς φησιν Εὐστάθιος, ἀρετῇ πάντων τῶν ἄλλων ἔξοχος.

ΠΕΡΙ ΑΜΦΙΝΟΜΟΥ

Ἀμφίνομος, εἷς τῶν μνηστήρων, ἐκ Δουλιχίου, ᾧ συνεστῆκει ἡ Πηνελόπη, ὡς φησι ἀρχαιότερος ἐγκάλεσε· ἤρεσκε γὰρ ἡ πειθὼ τῶν ὁμιλιῶν. ὡς γὰρ ὁ ἀκμῆς Μέδων ἀνεῖλε τοὺς μνηστῆρας, ὁ κτείνει δὲ ἀνελύτως, ἀλλ' ὑπὲρ τοὺς ἄλλους κήρυκας, ὡς δεξιώτερος, ὅτι καὶ Ἀμφίνομος ἥνδανε τῇ Πηνελόπῃ, οὐχ ἁπλῶς, ἀλλὰ πλέον τῶν ἄλλων μνηστήρων.

ΠΕΡΙ ΑΛΚΙΝΟΟΥ.

Ἀλκίνοος, υἱὸς Ναυσιθόου.

ΠΕΡΙ ἈΝΤΙΦΑΤΟΥ.

Ἀντιφάτης, υἱὸς Μελάμποδος.

ΠΕΡΙ ΑΔΜΗΤΟΥ

Ἄδμητος, υἱὸς Φέρητος.

ΠΕΡΙ ΑΜΦΙΚΤΥΟΝΟΣ

Ἀμφικτύων, βασιλεὺς Ἀθηναίων.

ΠΕΡΙ ΑΙΣΙΜΟΥ

Αἴσιμος, ἀδελφὸς Ἀντικλείας τῆς μητρὸς Ὀδυσσέως, γονὰ Σίνωνος.

ΠΕΡΙ ΑΕΡΟΠΗΣ

Ἀερόπη, γυνὴ Ἀτρέως, ἐμοιχεύθη ὑπὸ Θυέστου, καθὰ καὶ ἡ τοῦ υἱοῦ Ἀγαμέμνονος Κλυταιμνήστρα ὑπὸ Αἰγίσθου.

ΑΙ-

ΑΙΝΕΙΟΥ ΓΕΝΕΑΛΟΓΙΑ, ΚΑΙ ΑΣΤΥΑΝΑΚΤΟΣ, ΚΑΙ ΗΜΑΘΙΩΝΟΣ

ΖΕΥΣ ἐκ τῆς Ἠλέκτρας τῆς Ἄτλαντος θυγατρὸς, γεννᾷ
ΔΑΡΔΑΝΟΝ,
(ἐξ οὗ Δαρδανία, ἡ Τροία) ἐξ οὗ
ΕΡΙΧΘΟΝΙΟΣ,
ἐξ οὗ
ΤΡΩΣ,
(ἐξ οὗ ἡ Τροία) ἐξ οὗ

ΑΣΣΑΡΑΚΟΣ, | ΙΛΟΣ, | ΓΑΝΥΜΗΔΗΣ

ἐξ οὗ
ΚΑΠΥΣ,
ἐξ οὗ
ΑΝΧΙΣΗΣ,
ἐξ οὗ
ΑΙΝΕΙΑΣ, ἐκ τῆς ΑΦΡΟΔΙΤΗΣ

(ἐξ οὗ ἡ Ἴλιον) ἐξ οὗ
ΛΑΟΜΕΔΩΝ,
ἐξ οὗ
ΠΡΙΑΜΟΣ, ἐκ ΛΕΥΚΙΠΠΗΣ, (ἐξ οὗ, ἐκ τῆς ΕΚΑΒΗΣ, ΕΚΤΩΡ, ἐξ οὗ ΑΣΤΥΑΝΑΞ, ΕΛΕΝΟΣ, ΠΟΛΥΔΩΡΟΣ, ΕΥΦΟΡΒΟΣ, ΠΑΡΙΣ, καὶ ἄλλοι) ΙΚΕΤΑΩΝ, ΚΛΥΤΙΟΣ, ΤΙΘΩΝΟΣ (ἐξ οὗ καὶ ἐκ τοῦ ΡΟΙΟΥΣ, τῆς ΚΑΣΣΑΝΔΡΑΣ θυγατρὸς, ὁ ἐκ τοῦ ΣΤΡΥΜΟΥΣ, ΜΝΑΜΩΝ καὶ ΗΜΑΘΙΩΝ) ΛΑΜΠΩΝ

ΠΕΡΙ ΑΒΑΝΤΟΣ

Ἄβαντος γενεαλογία κατ' Ἀπολλώνιον·
ΑΙΟΛΟΥ τοῦ Ἕλληνος γένεται

ΚΡΗΘΕΥΣ | ΑΘΑΜΑΣ
ὁ
ΑΜΥΘΑΩΝ, | ΑΙΣΩΝ
ὁ
ΜΕΛΑΜΠΟΥΣ,
ὁ
ΑΒΑΣ.

Καθ' Ὅμηρον
ΠΟΣΕΙΔΩΝ ἐκ τῆς ΑΡΕΘΟΥΣΗΣ γεννᾷ ΑΡΓΕΙΟΝ, ἐξ οὗ ΑΒΑΣ

ΠΕΡΙ ΑΝΤΙΛΟΧΟΥ

Ἀντίλοχος, υἱὸς Νέστορος ὢν, μαθόντος ἤδη τοῦ πολέμου, ἐλθεῖν εἰς Τροίαν λέγεται νέον μὲν γὰρ ὄντα αὐτὸν, καὶ

ὑπ

ἐν ὥρᾳ, τὰ πολεμικά, ὅτε ξυνελέγοντο ἐς Αὐλίδα οἱ Ἕλληνες· ἐβουλήθη δὲ αὐτὸν στρατεύειν, οὐ συγχωρήσαντος τοῦ Νέστορος. ὡς δὲ, ἐπειδὴ πέμπτον ἔτος ἤδη προσεβεβλήκει τῷ πολέμῳ, πλεῖν ἐς Τροίαν ὥρμησε, καὶ ἐπιτιθέντα, ἀφικέσθαι ἐς παρελθόντα εἰς τὴν τοῦ Ἀχιλλέως σκηνὴν, ἱκετεύσαι τοῦτον παραιτήσασθαι αὐτῷ τοῦ πατρὸς, εἰ τις ἀπειθήσαντι μὴ ἄχθοιτο. ὁ δὲ, ἡσθεὶς τῇ τοῦ Ἀντιλόχου ὥρᾳ, καὶ τῆς προθυμίας ἀγασθεὶς αὐτοῦ, οὔπω τὸν πατέρα, εἶπεν, ὦ μειράκιον, τὸν σεαυτοῦ γινώσκεις, εἰ μὴ τῷ αὐτοῦ ἐπιτεθήσεσθαι μέλλει σοι, ἔργον φιλότιμόν τε καὶ νεανικὸν ἐγχειρήσαντι. καὶ ὀρθῶς εἶπεν ὁ Ἀχιλλεὺς ταῦτα· ὑπερήσθη δὲ τῷ παιδὶ ὁ Νέστωρ, καὶ ἐς αὐτὸν μεγαλοφρονῶν, ἄγει αὐτὸν παρὰ τὸν Ἀγαμέμνονα· ὁ δὲ, αὐτίκα συγκαλεῖ τοὺς Ἀχαιοὺς, καὶ λέγεται ἄριστα αὐτοῦ διαλεχθῆναι τότε ὁ Νέστωρ· συνελθὼν μὲν γὰρ αὐτοῖς χαίρειν ἐπὶ τῷ παιδὶ ὀψιαίτερον Νέστορα. οὐδὲ γὰρ εἶναι αὐτῷ ἐν Τροίᾳ υἱὸν, ἀλλ᾽, ὡς φασί τινες, ψόφου Θρασυμήδην τινὰ, ὃν ἐπήρου· ἐσάλευε δὲ τὸν Ἀντιλόχου ὑπὸ τῷ πατρί, προθυμούμενόν τε, καὶ ὡς τὴν γῆν ἀλεῖπται, καὶ θαυμασιώτατα τῷ καλὸν οὐκ ἔλαττον, ἢ Ἀχιλλεὺς ἐκέκτητο. τὸ μὲν γὰρ εἶδος αὐτοῦ, ἐκπληκτικόν τε φαίνεσθαι, καὶ ξανθὸν τὸ δὲ τοῦ Ἀντιλόχου, ἡμερόν τε καὶ ἡμέραν δοκεῖν πᾶσι· τὰ δὲ πολέμια, γενναῖον τε εἶναι καὶ ταχύν τὸν πόδα, καὶ πηγὺν τὴν ἐν ταῖς ὁπλαῖς κίνησιν ἐοικέναι· ἐνέχεσθαι τε τοῖς ἐπαγγελλομένοις χρόνου, καὶ τι ἐνέχεσθαι μὴ δὲ ἐν ταῖς μάχαις ἀπολέσθαι. ἀποθανεῖν δὲ, οὐχ, ὡς τινες λέγουσιν, ὑπὸ Μέμνονος, ἐξ Αἰθιοπίας ἥκοντος. Αἰθίοπα μὲν γὰρ γενέσθαι Μέμνονα, δυναστεύοντα ἐπὶ τῶν Τρωικῶν ἐν Αἰθιοπίᾳ, ἐφ᾽ οὗ καὶ τὰ ψάμμινα ὄρη ἀποχωσθῆναι λέγεται ὑπὸ τοῦ Νείλου, καὶ θύουσιν αὐτῷ κατὰ Μερόην, καὶ Μέμνων Αἰγύπτιος, καὶ Αἰθίοπες, ἐπειδὰν ἀκτῖνα πρώτην ὁ ἥλιος ἐκβάλλῃ περὶ τὸ ἄγαλμα φωνὴν ἐκρήγνυσθαι, ἢ τοὺς θεραπεύοντας ἀσπάζεσθαι. Τροίας δὲ ἐπελθεῖν οὐ πάνυ χρησάμενον Μέμνονα ἐπίκουρον τοῖς Τρωσίν· ἐς, ζῶντος μὲν Ἕκτορος, οὐκ ἐβούλετο δόξαι τῷ ὁμοίῳ Δηιφόβῳ τε καὶ Εὐφόρβῳ· ἀποθανόντος δὲ, προδομένον καὶ ὀλιγωροῦντα κομισθῆναι· καὶ τὴν Τροίαν ἐς αὐτὴν βλέψαι, καθὼς ἤδη προὔδεισαν οὗτος Ἀντιλόχου προσαπτόμενον τοῦ πατρὸς Νέστορος, ἀποκτεῖναι λέγεται

ΠΕ-

ΠΕΡΙ ΤΩΝ ΑΠΥΓΩΝ ΚΑΙ ΜΕΛΑΜΠΥΓΩΝ

Ἡ κατὰ τοὺς Ἀπύγους ἱστορία ὧδέ πως ἔχει· ὁ Ποσειδῶν κατελθὼν εἰς τὸν Ἅδην, διὰ τὸ ἁρπάσαι τὴν Περσεφόνην τὸν Πλούτωνα, ἐβόηθη κάτω πρὸς πέτραις τισὶ κατελθὼν δὲ ὁ Ἡρακλῆς, καὶ θέλων λαβεῖν τὸν Ποσειδῶνα, αὐτὸν μὲν ἀνείλκυσεν· αἱ δὲ πυγαὶ αὐτοῦ προσέμειναν τῇ πέτρᾳ· ἀνελκυσθεὶς δὲ ὁ Ποσειδῶν ἄπυγος· ἡ δὲ κατὰ τοὺς Μελαμπύγους, ὅτι αὐτοὶ δύο τινὲς ἀδελφοί, κατὰ γῆν πᾶσιν ἀδικίας ἐνδεικνύμενοι, ἐλέγοντο Κέρκωπες, ἐκ τῆς τῶν ἔργων δεινότητος τὴν ἐπωνυμίαν λαχόντες· ὁ μὲν γὰρ αὐτῶν ἐλέγετο Πάσσαλος, ὁ δὲ ἕτερος, Ἄκμων, ὥς φησι Δίων ὁ ὑπομνηματιστής· τούτων δὲ ἡ μήτηρ, Μέμνονις τοὔνομα, ὁρῶσα καὶ γὰρ αὐτοὺς πολλὰ δεινὰ ἐργαζομένους, εἶπε, μὴ περιτυχεῖν Μελαμπύγῳ· καί ποτε τοῦ Ἡρακλέους ὑπὸ δένδρον κοιμωμένου, καὶ τὰ τοῦ ἑαυτοῦ ὅπλα ἀποτεθειμένου τοῦ σώματος, ἐπιχειρήσαντες ὅπλοις, τοῖς ὅπλοις ἐπιχειρήσαντες ἐβουλεύοντο· εὐθὺς δὲ ὁ Ἡρακλῆς ἐξεγερθείς, λαβὼν αὐτοὺς κατὰ κεφαλήν, ἐπὶ ξύλῳ δεσμεύσας ἐβάσταζε· καὶ ποτε ἐκεῖνοι τῆς ἐντολῆς τῆς ἑαυτῶν μητρὸς ἀναμνησθέντες κρεμάμενοι, ὁρῶντες τοῦ Ἡρακλέους τὴν πυγὴν μέλαιναν, ἐκ τοῦ τῶν τριχῶν δασύτητος, καὶ πρὸς ἀλλήλους περὶ τούτου διαλεγόμενοι, γέλωτα πολὺν προσέθηκαν τῷ Ἡρακλεῖ· καὶ εὐθὺς αὐτοὺς μετὰ τοῦτο τῶν δεσμῶν ἐλευθέρωσεν.

ΠΕΡΙ ΑΙΓΥΠΤΟΥ ΚΑΙ ΤΩΝ ΠΑΙΔΩΝ ΑΥΤΟΥ

Αἴγυπτος, ὡς ἱστορεῖ Ἡρόδοτος καὶ κατὰ τὴν παλαιὰν ἱστορίαν, πεντήκοντα παῖδας αὐτοῦ πεντήκοντα παρθένοις ἀκουσίως συνοικισθέντας θυγατράσι Δαναοῦ, ὁ Βυζάκης μὲν καὶ Ὑπερμνήστρα μόνοι τῶν συζύγων ἐσώθησαν (αἱ δὲ λοιπαὶ τὰ λοιπὰ διεχρήσαντο) ἡ Βαβρύκη μέν, Ἱππολύτῳ τῷ αὐτανεψιῷ χαρισαμένη, Ὑπερμνήστρα δὲ, τῷ Λυγκεῖ· καὶ φυγοῦσα σὺν ἐκείνῳ, καὶ πολλὰ διωχθεῖσα τὴν Βαβρύκων ἴσχυσε, διὰ τὸ διδάσκειν τοὺς βαρβάρους τὴν Αἰγυπτίων σοφίαν· ἀπὸ δὲ Βαβρύκης, ἡ Βαβρυκία, ἀπ' αὐτῆς κληθεῖσα τὴν χώραν ἣν ᾤκησεν· ὅθεν οἱ Βέβρυκες, λέγονται μείζω δοκοῦν ἔχειν τὰ σώματα, ἢ καθ' ἡλικίαν ἀνθρώπου· παρ' οἷς καὶ ὁ Βέβρυξ γεννηθεὶς Ἀμύκος· οὗ τὸ μὲν μῆκος εἰς ὀκτὼ λέγεται πήχεις· Τῆρος δὲ, ὡς Ἀρριανὸς φησιν, ὅσον πυγμῇ μήκει εἰς κατοπτὰ σύμμετρον· ἦγον ὅσον

τὸ

ἢ συμμετρον ἐκ τῶν ἄλλων πήχεις τὸ μῆκος, ἐν τε κήποις Cελήνης τὸν ἀνθρωπον καὶ δὲ τῷ ἰσχύϊ ἀνδρος πάντων γεγονεν εἰς μονομαχίαν ποτὲ, νικήσας ἐτῶν ζ. Πίνδαρος δὲ μὴ τας Δαναΐδας ἱστορεῖ διὰ τοῦτο, ὡς τας δύο μὲν συνοικεῖσθαι τῶν λοιπῶν θηλων· ὅτι μὴ πεισθεῖσαι τῷ πατρὶ κατηγόρησαν τὸν αὐτῶν σφαγέως, καὶ διὰ τοῦτο ἀπελευθερῶσαι τῆς ἑαυτῶν πατρῴας.

ΠΕΡΙ ΑΜΒΡΑΚΟΣ

Ἀμβραξ, ὅδος Θεσπρωτῶν ἐξ ἧς Ἀμβρακιῶται, ὀνομασθεῖσαι οὕτως ἢ ἀπὸ Ἀμβρακίας τῆς Αὐγέα θυγατρὸς ἀφ᾽ ἧς καὶ ὁ κόλπος Ἀμβρακιωτικὸς, καὶ πόλις Ἀμβρακία, ὡς ἀπὸ Θεσπρωτῶν ἢ Θεσπρωτίᾳ χώρᾳ.

ΠΕΡΙ ΑΜΜΩΝΟΣ.

Ἄμμων, Λιβυκὸς ἦν θεος, ἀφ᾽ οὗ τοῖς Λιβύσσαις ἔθνος ἐν τούτῳ μαντεῖον καὶ Λιβύων τόπος οἱ μαντεῖαι διὰ συμβόλων γίνονται, ἔστι δὲ σχημάτων τινῶν, καὶ κατανεύοντα καὶ ἀνανεύοντα· ὡς δὲ φασι τὸν ἐκεῖ Δια, Ἄμμωνα κληθῆναι ἀπὸ τινος ὁμωνύμου ποιμένος, προκαταλήξαντος τοῦ τὸ περὶ αὐτὸ ἱδρύσεως. Ηρίοτος δὲ τοῦτο ἀθῆμαι ἐστεῖ Ἄμμωνα καὶ Δία, λέγει ὅτι κριοπρόσωπον τι τοῦ Διος ἦν αὐτόθι ἄγαλμα, ὅθεν καὶ τὸ ἔθνος Ἀμμώνιοι, παρ᾽ οἷς λέγεται ἡ τὸ ἄλσος καὶ κρήνη, ἡτις ἐν ἑκάστῳ νυχθημέρῳ πολλὰς δέχεται τροπὰς, καὶ τὸ ψυχρὸν καὶ θερμανθεῖσα παρεδίδου Ἄμμων γὰρ Αἰγύπτιοι τὸν Δία καλοῦσι. τῶν τε δὲ μεγάλων φιλοσόφων Ἄμμων καὶ πατέρα αὐτοῦ, ταυτὸ εἶναι ἱστορεῖ· τὸ δὲ μαντεῖον λέγουσι Θηβαίων γυναῖκα ἐνστῆσαι, ἱέρειαν τοῦ Θηβαίου Διος ἱστορεῖται δὲ καὶ ὅτι Ἀλέξανδρος ὁ Μακεδὼν, αὐτοὺς Περσέα καὶ Ἡρακλέα εἰς Ἄμμωνα ἀναβῆναι, φιλοδοξήσαντα ἀπελθεῖν καὶ αὐτὸς καὶ ἐπολίσατο οὕτω, κοράκων προηγησαμένων αὐτῷ ἀτυχοῦς τῆς ὁδοῦ, καίτοι ἄλλως ἠφανισμένης τὰ σημεῖα τῇ ἐπιχύσει τῆς ἄμμου, ἣν πάνυ πολλὴν ὁ τόπος ἐκεῖ ἐπιτρέψαι ὅτι φασι, καὶ ὁ τοῦ Ἄμμωνος ἱερεὺς, ἀλλὰ τοῦ παιδὸς παιδίον, παιδίον καλεῖται βαρβαρικῶς τὸν Ἀλέξανδρον, εἶπεν, ὡς ἐν χρησμῷ λαβόντι, ὦ παῖ Διος, αὐτὸν προσειπεῖν· ὅτι τῷ ἐπιτεῦξαι πολλοὺς ἐκλαμβάνειν μᾶλλον τὸ βάρβαρον τῆς φωνῆς.

ΙΑΤΡΟΙ.

ΠΕΡΙ ΑΚΡΩΝΟΣ ΙΑΤΡΟΥ.

Ἄκρων, Ἀκραγαντῖνος ἰατρὸς, υἱὸς Ξένωνος. ἐσοφίστευσεν ἐν Ἀθήναις ἅμα Ἐμπεδοκλεῖ· ἔστι πρεσβύτερος Ἱπποκράτους. ἔγραψε περὶ ἰατρικῆς, Δωρίδι διαλέκτῳ· περὶ τροφῆς ὑγιεινῶν βιβλίον ἕν.

ΠΕΡΙ ΑΓΑΠΙΟΥ.

Ἀγάπιος, Ἀλεξανδρεὺς, ἐξηγήσεις πλείστας ἰατρικῶν μαθημάτων συνέγραψε.

ΙΣΤΟΡΙΚΟΙ.

ΠΕΡΙ ΑΠΟΛΛΩΝΙΔΟΥ.

Ἀπολλωνίδης, ὁ καὶ Ὡράπιος ἐπικληθεὶς, ἱστορικὸς ἔγραψε περί τε τῆς θρησκείας τῆς Αἰγυπτιακῆς καὶ τῶν βασιλέων αὐτῶν, καὶ τῆς ἐν αὐτοῖς ματαιοπονίας, ἐν πολλαῖς ἱστορίαις, καὶ μάλιστα ἐν τῇ βίβλῳ τῇ ἐπιγραφομένῃ Σεμβεῦθι.

ΠΕΡΙ ΑΚΟΥΣΙΛΑΟΥ.

Ἀκουσίλαος, Κάβα υἱὸς, Ἀργεῖος, ἀπὸ Κεράδος πόλεως ὄντος πλησίον Αὐλίδος, ἱστορικὸς πρεσβύτατος. ἔγραψε γενεαλογίας ἐκ δέλτων χαλκῶν, ἃς λόγος εὑρεῖν τὸν πατέρα αὐτοῦ, ὀρύξαντα τινα τόπον τῆς οἰκίας αὐτοῦ.

ΠΕΡΙ ΑΝΑΞΙΜΑΝΔΡΟΥ.

Ἀναξίμανδρος, Ἀναξιμάνδρου υἱὸς, Μιλήσιος ὁ νεώτερος ἱστορικὸς, ἔγραψε συμβόλων Πυθαγορείων ἐξήγησιν.

ΠΕΡΙ ΑΝΤΙΠΑΤΡΟΥ.

Ἀντίπατρος, Ἰόλλα υἱὸς, πόλεως Παλλήνης τῆς Μακεδονίας, στρατηγὸς Φιλίππου, καὶ διάδοχος, μαθητὴς Ἀριστοτέλους ἔγραψεν ἱστορίαν καὶ σύγγραμμα ἐπιστολῶν ἐν βιβλίοις δυσί.

ΠΕΡΙ ΑΠΟΛΛΩΝΙΟΥ ΤΟΥ ΑΦΡΟΔΙΣΙΕΩΣ.

Ἀπολλώνιος Ἀφροδισιεὺς, ἀρχιερεὺς καὶ ἱστορικὸς, γέγραφε Καρικὰ, περὶ Τραλλέων, περὶ Ὀρφέως καὶ τῆς τελετῆς αὐτοῦ.

ΠΕΡΙ ΑΛΕΞΑΝΔΡΟΥ ΤΟΥ ΜΥΝΔΙΟΥ.

Ἀλέξανδρος ὁ Μύνδιος, ἱστορικὸς· διαλαμβάνων περὶ Γοργόνος.

ΡΗΤΟΡΕΣ.

ΠΕΡΙ ΑΔΡΙΑΝΟΥ ΤΟΥ ΡΗΤΟΡΟΣ.

Ἀδριανὸς ἐκ πόλεως Τύρου τῆς Φοινίκης, μαθητὴς Ἡρώδου, ἀντισχολαστὴς Ἀριστείδῃ τῷ ῥήτορι, ἐν Ἀθήναις γενόμενος, καὶ φύσεως ἔχων σοφιστικωτάτην ἐνδεικνύμενος, καὶ ὡς ἀληθῶς ὤν, ὡς ἔτι μέγα ἔχει, ἐφοίτησε μὲν γὰρ τῷ Ἡρώδῃ, καταλέγεις γεγονὼς ἔτη, καὶ ταχέως ἀξιωθεὶς ὑπὸ Σεκούνδου τε καὶ Ἀμφικλέους ἐξηγεῖτο, ἐνεγράφη δὲ τῇ τῶν κλεψυδρῶν ἀκροάσει· τὸ δὲ κλεψύδριον ὧδε εἶχε· τῶν Ἡρώδου ἀκροατῶν δέκα, οἱ ἄριστοι ἀξιούμενοι, ἐπεστρέφοντο τῇ εἰς πάντας ἀκροάσει, κλεψύδραν συμμεμετρημένην ὡς ἑκατὸν ἔπη, ἃ διεξῄει ἀποσχεδιάζων ὁ Ἡρώδης, παρακείμενος τις ἐκ τῶν ἀκροατῶν ἐπαινῶν, καὶ μόνος γεγονὼς τῷ λόγῳ ἐπιδεδωκότι δὲ αὐτῷ τῆς γνώμης, τὸ μετὰ τὸ τότε καιρὸν ἀνεῖναι, ἀλλὰ καὶ τι ὑποσχεδιάζειν τῷ ἔπει, ξυνῆπτε μὲν ὁ Ἀδριανὸς τοῖς ἀπὸ τῆς κλεψύδρας, ὡς καινόν μεγάλη ἀπεβλέπετο· λόγῳ δὲ κοινῷ περὶ τῆς ἑκάστου τῶν Σοφιστῶν ἰδέας προβαίνοντι, παρελθὼν εἰς μέσον ὁ Ἀδριανὸς, ἐγὼ, ἔφη, ἀπογράψω τοὺς χαρακτῆρας, οὐ κομματίων ἀπομνημονεύων, ἢ κώλων, ἢ ῥυθμῶν, ἀλλ᾽ εἰς μίμησιν ἑαυτὸν καθιστὰς, καὶ τὰς ἑκάστων δεινότητας ἀποσχεδιάζων σὺν ἠχοῖ, καὶ ἄσημε τῇ γλώττῃ, ὧν οἱ πολλοὶ περὶ τὰς ἐννοίας, καὶ λαμπρὰς τὰς διατάσεις τῶν ἐνθυμήσεων καὶ πολυλόγους, ἐκ τῆς Τραγῳδίας τινὸς ὄγκος· οὐ μὴν τετραγῳδηκὼς γε, ὅτι τῇ τέχνῃ ἑπόμενος· τὴν δὲ παρασκευὴν τῆς λέξεως, ἀπὸ τῶν ἀρχαίων σοφιστῶν περιεβάλλετο, ἦχον προσάγων μᾶλλον, ἢ κρότον· πολλαχῆ δὲ τῆς μεγαλοφωνίας ἐξέπιπτεν, ἀπομαθόντα τῆς τραγικῶς χρώμενος. ἔγραψε μελέτας, καὶ μεταμορφώσεων ἐν βιβλίοις ἑπτὰ

περὶ

πεζὰ ἔπη λόγου ἐν βιβλίοις πέντε· περὶ τῶν ἐν ταῖς τέχναις ζητουμένων, ἐν βιβλίοις τρισί· ἐπιστολὰς καὶ λόγους διαφόρους ἐπιδεικτικούς· φέρεται καὶ ἐπιγραμματικὸν εἰς Κύλικα.

ΠΕΡΙ ΑΘΗΝΟΔΩΡΟΥ

Ἀθηνόδωρος ὁ ῥήτωρ, τὸ γένος ἐπισημότατος ἐκ πόλεως Αἴνου τῆς Θρᾳκικῆς, μαθητὴς Ἀριστοκλέους, παῖς ἔτι· χρησὶ δὲ ἔθει ξυνούς, ὅτι κατ' ἀμφοῖν ἐκράτει τῆς γλώττης ἀττικίζων τε καὶ ἐν περιβολαῖς ἑρμηνεύων· παιδεύων δὲ Ἀθήνησι κατὰ χρόνους, οὓς καὶ Πολυδεύκης ὁ Ναυκρατίτης ἐπαίδευσεν, ἐπέκοπτεν αὐτὸν ταῖς διαλέξεσιν ὡς μειρακιώδη, λέγων, οἱ Ταντάλου κῆποι τὸ κάθου τοῦ λόγου καὶ ἐπιπόλαιον, φαντασίᾳ προσεικάζων αὐτὸν τε καὶ μὴ ὄντα ὑμεδιδόντα δὲ καὶ τὸ ἦθος γενομένους. ἐτελεύτησεν ἔτι, ἀφαιρεθεὶς ὑπὸ τῆς τύχης καὶ τὸ πρόσω ἐλάσαι δόξης· ἐπεὶ καὶ Ἰσαῖος σοφιστὴς Ἀθηνόδωρος, αἰτηθεὶς Γρηγορίου τοῦ Θαυματουργοῦ, ὃν γενέσθαι τῶν ῥητορικῶν τῶν λόγων, καὶ πολυμαθὴς, περὶ τὰ ῥητορικὰ μέτρα.

ΑΙΣΧΙΝΑΙ, ΠΟΣΟΙ

Αἰσχίναι γεγόνασιν ὀκτώ· ὧν ὁ μὲν πρῶτος, ὁ τὰς τέχνας γεγραφὼς τὰς ῥητορικὰς· δεύτερος δὲ, ὁ Μιτυληναῖος, ὃς καὶ ῥητορομάστιξ ἐκαλεῖτο· τρίτος ὁ ῥήτωρ, ὁ κατὰ Δημοσθένους πέμπτος, ὁ Χαρίνου τοῦ ἀλλαντοπώλου· ὁ δὲ, Λυσανίου, Ἀθηναῖος, ἐκ τῶν φιλοσόφων εἷς καὶ Σωκράτους ἐκ ὀκτὼ ἀκμάσας, Νεαπολίτης φιλόσοφος Ἀκαδημαϊκὸς, Μελανθίου τοῦ Ῥοδίου μαθητὴς ἕκτος, Ἀρκὰς, μαθητὴς Ἰσοκράτους ἕβδομος, Μιλήσιος, πολιτικὸς συγγραφεὺς ὄγδοος, ἀνδριαντοποιός.

ΠΕΡΙ ΑΒΑΝΤΟΣ

Ἄβας σοφιστὴς, ἱστορικὰ ὑπομνήματα καὶ μέθοδον ῥητορικὴν πάνυ γλαφυρὰν, κατέλιπεν.

ΠΕΡΙ ΑΝΑΞΙΜΕΝΟΥΣ

Ἀναξιμένης Ἀριστοκλέους, Λαμψακηνὸς ῥήτωρ, μαθητὴς Διογένους τοῦ Κυνικοῦ, καὶ Ζωΐλου τοῦ Ἀμφιπολίτου τοῦ γραμματικοῦ, τοῦ κακίζοντος Ὅμηρον· διδάσκαλος Ἀλεξάνδρου τοῦ Μακεδόνος.

ΠΕΡΙ ΑΛΕΞΑΝΔΡΟΥ ΤΟΥ ΠΗΛΟΠΛΑΤΩΝΟΣ

Ἀλέξανδρος ὁ ῥήτωρ, πατρίδα μὲν εἶχε Σελεύκειαν, πόλιν οὐκ ἀφανῆ ἐν Κιλικίᾳ· πατέρα δὲ ὁμώνυμον. διδάσκαλοι δ' αὐτῷ ἐγένετο, Φαβωρῖνός τε καὶ Διονύσιος ὁ ῥήτωρ· ἀλλὰ Διονυσίῳ μὲν, ὑπομειράκιος ἐπῆλθε, μετασεμνωθεὶς ὑπὸ τοῦ πατρὸς νοσήσας, ὅτε δὴ καὶ ἐπλάκη. Φαβωρίνου δὲ γνησιώτατα ἠκροάσατο· παρ' οὗ μάλιστα καὶ τὴν ἰδέαν τοῦ λόγου ἔσπασεν. ἀλλὰ τὸ μὲν δὴ πλεῖστον τοῦ βίου ἐν Ἀντιοχείᾳ, καὶ Ῥώμῃ, καὶ Ταρσῷ, καὶ Αἰγύπτῳ πάσῃ ἐσπούδασεν· ἀφίκετο γὰρ εἰς τὰ τῶν Γυμνῶν ἤθη. αἱ δὲ Ἀθήνησι διατριβαὶ τοῦ ἀνδρὸς, ὀλίγαι μὲν, οὐκ ἄξιαι δὲ ἀγνοεῖσθαι. ἐβάδιζε μὲν γὰρ ἐς τὰ Παιονικὰ ἔθνη, κατακληθεὶς ὑπὸ Μάρκου βασιλέως ἤδη στρατεύοντος, καὶ δεδωκότος αὐτῷ τὴν ἐπιστολὴν τῶν Ἑλλήνων, ἀφικόμενος δὲ ἐς τὰς Ἀθήνας, ὀψὲ δὲ μάλα τοῦτο ἡ μέτεσι τῷ ἐκ τῆς ὁδοῦ ἐλθόντι, ἐνταῦθα, ἤδη, γέρων κάμψασθαι καὶ εἶσω τοῦτο, ἐπήγγειλε τοῖς Ἀθηναίοις αὐτοσχεδίους λόγους ἐρῶσι αὐτοῦ τῆς ἀκροάσεως. ἀκούων δὲ τὸν Ἡρώδην ἐν Μαραθῶνι διατρίβειν, καὶ ξὺν αὐτῷ τὴν ἐπακολουθοῦσαν αὐτῷ πᾶσαν, γράφει πρὸς αὐτὸν ἐπιστολὴν, καλῶν τοὺς Ἕλληνας, ἐπεὶ ὁ Ἡρώδης ἀφίξομαι, ἔφη, μετὰ τῶν Ἑλλήνων καὶ αὐτός. συνελέγοντο μὲν δὴ ἐς τὸ ἐν τῷ Κεραμεικῷ θέατρον, ὃ δὴ ἐπωνόμασται Ἀγριππεῖον. προϊούσης δὲ ἤδη τῆς ἡμέρας, καὶ τοῦ Ἡρώδου βραδύνοντος, ἠγανάκτουν οἱ Ἀθηναῖοι, ὡς διαλυθείσης τῆς ἀκροάσεως, καὶ σκῆψιν αὐτὴν ᾤοντο. ὅθεν ἀνάγκη τῷ Ἀλεξάνδρῳ ἐγένετο, παρελθεῖν καὶ τὴν διάλεξιν, καὶ πρὶν ἥκειν τὸν Ἡρώδην. ἡ μὲν δὴ διάλεξις, ἔπαινος ἦσαν τοῦ ἄστεος, καὶ ἀπολογίαι πρὸς τοὺς Ἀθηναίους, ὑπὲρ τοῦ μὴ πρότερον πρὸς αὐτοὺς ἀφῖχθαι. εἶχε δ' ἱκανὸν μῆκος· Παναθηναϊκοῦ γὰρ λόγου ἐπιτομὴ ἐδόκει. ἀνέστελλε δ' αὐτῷ τοὺς Ἀθηναίους ἐπέξει, ὡς καὶ βόμβος διελθεῖν κατὰ ἔτι σιωπώντων, νομιζόντων αὐτοῦ τὸ ἐπίσχημα. ὁ μὲν δὴ ἐπεκταθεὶς ὑπόθεσιν, ὁ τὰς Σκύθας ἐπανάγων ἐς τὸ πρότερον πλανᾶν, ἐπειδὴ πόλει οἰκοῦντες νοσοῦσι. χρόνῳ δ' ὕστερον βραχεῖ, ἐπιτηδεύσας τοῦ θρόνου, φαιδρῷ τῷ προσώπῳ, καθάπερ εὐαγγέλια ἔφαινε τῆς ἀκροάσεως, ὃ αὐτοῦ ἦγεν. προϊόντος δ' αὐτῷ τοῦ λόγου, ἐπέστη ὁ Ἡρώδης, Ἀρκάδα πῖλον τὴν κεφαλὴν σκιάζων, ὡς ἐν ὥρᾳ θέρους εἰώθει Ἀθήνησι. ἔστιν δὲ τις καὶ ἐνδιαιτᾶσθαι αὐτῷ τι ἐν τῆς ὁδοῦ ἥκειν. καὶ ὁ Ἀλέξανδρος ἰδὼν ἥλιον, διελέχθη μὲν ἐς τὴν παρουσίαν τοῦ ἀνδρὸς ὑπο-

σί-

σπουδῇ τῇ λέξει καὶ ἤχησεν ἐν αὐτῷ ἃ ἔθετο, ἐπὶ βλέμματι τῆς τῶν σπουδαζομένων, ἀποθέσεως ἀκροάσεως, ἐπὶ τούτοις αὐτὸς ἔθαυμαστο δὲ Ἡρώδης ἄνω βλέψαντος ἐς τοὺς ἀκροωμένους, καὶ ἐπιδόντος ὅτι ὑπὲρ ἃ ἐβούλετο δόξει, πάντες συνεπένευσαν ὡς τὴν τῶν Σκυθῶν ἀκρόασιν· καὶ γὰρ δὴ καὶ λαμπρῶς ᾖρεν τὸν ἀγῶνα, ὡς δηλοῖ τὰ ἐπιρρήματα θαυμαστικῶς ἔχων ἐπεδείξατο καὶ ἐν Ἰταλίᾳ· τῆς γὰρ διαίτης, τὰς περὶ ἠχὼ τοῦ Ἡρώδου λαμπρῶς αὐτῷ ἀσκήματα, μετεχειρίσατο ἐπενεύσας καὶ τῇ ἰδίᾳ λέξει, καὶ ἐπέρεις ῥυθμοῖς, ὡς τοῖς δεινοῖς ἀκρουσθεῖσι, μὴ διαλογεῖν δόξαις ἐπὶ τελευτῇ δὲ τοῦ λόγου, καὶ τὰ πολλὰ διαβάλλων ὡς πτυγμάτων ἐπιτηδεύσας, τὰ ἐπὶ πάντα ἃ εἰς ἀπεθήκατο ἀλλ' ἀπαίτησιν τῆς ὕλης, ἀπαντῶσα ἄλλα. προσδραμὼν δὲ τῷ Ἡρώδῃ, καὶ περιεχυθεὶς αὐτῷ, ἀντιφιλοτιμεῖ μὲ ἔφη καὶ ὁ Ἡρώδης, τί δὲ ἔμελλες, εἶπε, λαμπρῶς οὕτως ἐπιτάττειν; διαλυθέντος δὲ τοῦ ἀκροατηρίου, καλέσας ὁ Ἡρώδης τῶν ἑαυτοῦ γνωρίμων τινὰ ἐν ἐπαίνοις, ἐρωτᾷ πῶς τὶς αὐτῷ ὁ Σοφιστὴς φαίνεται; Σκέπτε δὲ τοῦ Κορινθίου, τὸν μὲν πηλὸν εὑρηκέναι φήσαντος, τὸν δὲ Πλάτωνα ζητεῖν, ἐπεσκώπτων αὐτὸν ὁ Ἡρώδης, τοῦτο, ἔφη, πρὸς μηδένα εἴπῃς ἑτέρῳ· σεαυτὸν γὰρ διαβαλεῖς, ὡς ἀμαθῶς κρίνοντα. πλανῆσαι δὲ τὸν Ἀλέξανδρον οἱ μὲν, ἐν Κελτοῖς φασιν, ἔτι ἐπιστέλλοντα· οἱ δ' ἐν Ἰταλίᾳ, πεπαυμένον τοῦ ἐπιστέλλειν· καὶ οἱ μὲν ἑξηκοντούτην, οἱ δὲ καὶ ἄνω περὶ τοὺς ἑξήκοντα.

ΦΙΛΟΣΟΦΟΙ.

ΠΕΡΙ ΑΛΚΜΑΙΩΝΟΣ.

Ἀλκμαίων, Πειρίθου υἱὸς, Κροτωνιάτης· ὡς αὐτὸς ἐναρχόμενος τοῦ συγγράμματος φησὶν „ Ἀλκμαίων Κροτωνιήτης, τάδε ἔλεξε, Πειρίθου υἱὸς, Βροτίνῳ, καὶ Λέοντι, καὶ Βαθύλλῳ, περὶ τῶν ἀφανέων περὶ τῶν θνητῶν σαφήνειαν μὲν θεοὶ ἔχοντι· ὡς δὲ ἀνθρώποις τεκμαίρεσθαι, „ καὶ τὰ ἑξῆς. Πυθαγόρου δὲ ἀκροατὴς ἦν· καὶ τὰ πλεῖστά γε ἰατρικὰ λέγει· ὅμως δὲ καὶ φυσιολογεῖ ἐνίοτε λέγων. δοκεῖ δὲ πρῶτος φυσικὸν λόγον συγγεγραφέναι, καθά φησι Φαβωρῖνος ἐν παντοδαπῇ ἱστορίᾳ· ἔφη δὲ καὶ τὴν ψυχὴν ἀθάνατον, καὶ κινεῖσθαι αὐτὴν συνεχῶς ὡς τὸν ἥλιον· τὴν δὲ σελήνην καθόλου ταύτην ἔχειν ἀΐδιον φύσιν.

ΠΕΡΙ ΑΝΑΞΑΡΧΟΥ.

ἈΝάξαρχος ὁ φιλόσοφος, Ἀβδηρίτης τὸ γένος, Διομένους τοῦ Σμυρναίου ἀκουστὴς, οἱ δὲ, Μητροδώρου τοῦ Χίου, ὃς ἔλεγε, μηδὲ αὐτὸ τοῦτο εἰδέναι, ὅτι οὐδὲν οἶδε. οὗτος συνεχθεὶς ὑπὸ Ἀρχελάου τοῦ τυράννου, καὶ βληθεὶς ἐν ὅλμῳ, ἐπτίσσετο μοχλῷ ξυλίνῳ πτισσόμενος δὲ ἔτι, τὸ ἴδιον πτισσόμενος σῶμα ἰδὼν καὶ πτισσόμενος, οὐδὲ τὸ πτίσσεσθαι ἀποκτείνας δὲ ἔπος, εἶπε πτίσσε, πτίσσε τὸν Ἀναξάρχου θύλακον· οὐ γὰρ πτίσσεις Ἀνάξαρχον· ἀποτεινόμενος, ὅτι φιλόσοφος ἐδόθη, τὸ σώματι μαστιγοῦν λόγῳ ποιεῖσθαι. ἄλλοι δὲ Νικοκρέοντα τὸν Κύπρου τύραννον φασὶ γενέσθαι τὸν αὐτὸν τιμωρησάμενον. ὁ δ᾽ οὖν Ἀνάξαρχος καὶ Ἀλεξάνδρῳ συνὼν ὅτε ἐδόκει εἶναι θεὸς, ἐνέτρεψεν· ἐπειδὴ γὰρ ἔκ τινος πληγῆς εἶδεν αὐτοῦ καταρρέον αἷμα, δείξας τῇ χειρὶ, πρὸς αὐτὸν φησὶ τοῦτο μὲν αἷμα καὶ οὐκ ἰχώρ,

— Οἷός πέρ τε ῥέει μακάρεσσι θεοῖσι.

Πλούταρχος δὲ αὐτὸν τὸν Ἀλέξανδρον τοῦτο λέξαι πρὸς τοὺς φίλους φησίν· ἀλλὰ καὶ ἄλλοτε προπίνοντα αὐτῷ τὸν Ἀνάξαρχον, δεῖξαι τὴν κύλικα, καὶ εἰπεῖν, Βληθήσεταί τις θεῶν βροτησίᾳ χειρί. ἐκαλεῖτο δὲ διὰ τὴν ἀπάθειαν καὶ εὐκολίαν τοῦ βίου, εὐδαιμονικὸς ὁ Ἀνάξαρχος· ἦν δὲ καὶ ἐκ τοῦ ῥᾷστα δύνασθαι τῷ σωφρονίζειν.

ΠΕΡΙ ΑΝΑΞΑΓΟΡΟΥ.

ἈΝαξαγόρας, πατέρας γεγόνασιν ὧν ὁ πρῶτος, Ἡγησίβουλος, ἢ Εὔβουλος, Κλαζομένιος· δεύτερος δὲ, ῥήτωρ ὁ Ἰσοκράτους· τρίτος, γραμματικὸς Ζηνοδότου· τέταρτος, ἀνδριαντοποιὸς, οὗ μέμνηται Ἀντίγονος. ὁ δὲ Κλαζομένιος, ὅθεν δὲ διαλαβὼν μάλιστα, ἀκουστὴς ἦν Ἀναξιμένους. διήνεγκε δὲ πλούτῳ καὶ μεγαλοφροσύνῃ διαφέρων· ὅς γε καὶ τὰ πατρῷα παρεχώρησε τοῖς οἰκείοις λέγεται. αἰτιαθεὶς γὰρ ὑπ᾽ αὐτῶν ὡς ἀμελῶν, τί οὖν, ἔφη, οὐχ ὑμεῖς ἐπιμελεῖσθε; καὶ τέλος ἀπέστη, καὶ περὶ τὴν τῶν φυσικῶν θεωρίαν ἦν, οὐ φροντίζων τῶν πολιτικῶν. ὅτε καὶ πρός τινα εἰπόντα, οὐδέν σοι μέλει τῆς πατρίδος; εὐφήμει, ἔφη, ἐμοὶ γὰρ καὶ σφόδρα μέλει τῆς πατρίδος, δείξας τὸν οὐρανόν. λέγεται δὲ κατὰ τὴν Ξέρξου διάβασιν εἴκοσιν ἐτῶν εἶναι, βεβιωκέναι δὲ ἑβδομήκοντα δύο. ἤρξατο δὲ φιλοσοφεῖν Ἀθήνησιν ἐπὶ Καλλίου ἐτῶν εἴκοσιν ὤν· ἔνθα καί φασιν αὐτὸν ἔτη διατρῖψαι τριάκοντα. καὶ

τῷ

ἀποχωρήσας εἰς Λάμψακον, κἀκεῖθι τῆς τοῦ βίου λήξεως ἔτυχεν.

ΠΕΡΙ ΑΓΑΠΙΟΥ.

Ἀγάπιος ὁ φιλόσοφος, Ἀθηναῖος τὸ γένος, μετὰ Πρόκλον ἀπηχημένος ὑπὸ Μαρίνου, ὃς ἐθαύμαζεν ἐπὶ φιλομαθίᾳ ἀτόπῳ περιεργῷ διατεθειμένον.

ΠΕΡΙ ΑΝΑΞΙΜΑΝΔΡΟΥ.

Ἀναξίμανδρος Πραξιάδου, Μιλήσιος, φιλόσοφος συγγενὴς καὶ ἀκουστὴς καὶ διάδοχος Θάλητος, ἔφασκεν ἀρχὴν καὶ στοιχεῖον τὸ ἄπειρον, οὐ διορίζων ἀέρα, ἢ ὕδωρ, ἢ ἄλλο τι· καὶ τὰ μὲν μέρη μεταβάλλειν, τὸ δὲ πᾶν ἀμετάβλητον εἶναι· καὶ τὴν γῆν ἐν μέσῳ κεῖσθαι, κέντρου τάξιν ἐπέχουσαν, οὖσαν σφαιροειδῆ· τήν τε σελήνην ψευδοφανῆ καὶ ἀπὸ ἡλίου φωτίζεσθαι· ἀλλὰ καὶ τὸν ἥλιον οὐκ ἐλάττονα τῆς γῆς, καὶ καθαρώτατον πῦρ. οὗτος αὐτὸς ἰσημερίας εὗρε, ὡρολογεῖα καὶ τροπάς· γνώμονά τε εἰσήγαγε, καὶ ἔστησεν ἐπὶ τῶν σκιοθήρων ἐν Λακεδαίμονι· καὶ σφαῖραν κατεσκεύασε· καὶ ὅλως γεωμετρίας ὑποτύπωσιν ἔδειξεν· ἔγραψε καὶ περὶ φύσεως, καὶ ἀπλανῶν, ἢ μὴν ἄλλα καὶ πρῶτος ἐτόλμησε τὴν οἰκουμένην ἐν πίνακι γράψαι. ἐτελεύτησε δὲ ἑξηκοντούτης, ἀκμάσας μάλιστα κατὰ Πολυκράτην τὸν Σάμου τύραννον.

ΠΕΡΙ ΑΝΑΞΙΜΕΝΟΥΣ.

Ἀναξιμένης Εὐρυστράτου, Μιλήσιος, καὶ οὗτος φιλόσοφος, μαθητὴς καὶ διάδοχος Ἀναξιμάνδρου τοῦ Μιλησίου, ἀρχὴν τὸν ἀέρα, καὶ τὸ ἄπειρον εἶπε· κινεῖσθαι δὲ τὰ ἄστρα οὐχ ὑπὸ γῆν, ἀλλὰ περὶ γῆν· οὗτος τὸν βίον κατέστρεψε περὶ τὴν Σάρδεων ἅλωσιν.

ΠΕΡΙ ΑΝΤΙΣΘΕΝΟΥΣ.

Ἀντισθένης ὁ φιλόσοφος, τὸ γένος Ἀθηναῖος, κατ' ἀρχὰς ἀκουστὴς ἦν Γοργίου τοῦ ῥήτορος· ὅθεν τὸ ῥητορικὸν εἶδος ἐν τοῖς διαλόγοις ἐμφαίνει καὶ μάλιστα ἐν τῇ Ἀληθείᾳ καὶ τοῖς προτρεπτικοῖς. ὕστερον δὲ παρέβαλε Σωκράτει, καὶ τοσοῦτον ὤνητο αὐτοῦ, ὥστε παρῄνει τοῖς μαθηταῖς γενέσθαι αὐτῷ πρὸς Σωκράτην συμμαθητάς. οἰκῶν τε ἐν Πειραιεῖ, καθ' ἑκάστην ἡμέραν τοὺς τετταράκοντα σταδίους ἀνιὼν, ἤκουε Σωκράτους· παρ' οὗ καὶ τὸ καρτερικὸν λα-

λαβὼν, ἢ τὸ σωματικὸν ζηλώσας, κατῆρξε πρῶτος τοῦ κυνισμοῦ· ὃς ἀπὸ ὁ πόνος ἀγαθὸν συνέστησε διὰ τοῦ μεγάλου Ἡρακλέους ἐκ τοῦ Θρᾴττης τῇ μὲν, ἀπὸ τῶν Ἑλλήνων τῇ δὲ, ἀπὸ τῶν βαρβάρων ἑλκύσας. διελέγετο δ' ἐν τῷ Κυνοσάργει γυμνασίῳ, μικρὸν ἄπωθεν τῶν πυλῶν· ὅθεν λέγεται καὶ τὴν κυνικὴν ἐντεῦθεν ὀνομασθῆναι· αὐτός τε ἐπεκαλεῖτο ἁπλοκύων. καὶ πρῶτος ἐδίπλωσε τὸν τρίβωνα, καθά φησι Διοκλῆς, καὶ μόνῳ αὐτῷ ἐχρῆτο· βάκτρον τε ἀνέλαβε καὶ πήραν· πρῶτος δὲ ὥρισε καὶ θαυμαστῶς· τοῦτον μόνον ἐκ πάντων τῶν Σωκρατικῶν Θεόπομπος ἐπαινεῖ· καί φησι δεινόν τε εἶναι, καὶ δι' ὁμιλίας ἐμμελοῦς ὑπαγαγέσθαι πάνθ' ὁντινοῦν. δῆλον δ' ἐκ τῶν αὐτοῦ συγγραμμάτων, καὶ ἐκ τοῦ Συμποσίου Ξενοφῶντος. ἦν. καὶ τῆς ἀνδρωδεστάτης στωικῆς κατῆρξε, καὶ τῆς Διογένους ἀπαθείας, καὶ τῆς Κράτητος ἐγκρατείας, καὶ τῆς Ζήνωνος καρτερίας ἡγήσατο, ὑποθέμενος τῇ πόλει τὰ θεμέλια. ὁ δὲ Ξενοφῶν ἥδιστον μὲν εἶναι περὶ τὰς ὁμιλίας φησὶν αὐτὸν, ἐγκρατέστατον δὲ περὶ τὰ ἄλλα. φέρονται δ' αὐτοῦ συγγράμματα περὶ διαφόρων ὑποθέσεων, τόμοι δέκα. ἐτελεύτησε δὲ Ἀθήνησιν, ἑβδομηκοντούτης γενόμενος.

ΠΕΡΙ ΑΚΥΛΑ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ

Ἀκύλας, φιλόσοφος· ἔγραψε σχόλια λογικὰ περὶ συλλογισμῶν.

ΠΕΡΙ ΑΛΕΞΑΝΔΡΟΥ ΤΟΥ ΑΙΓΑΙΟΥ.

Ἀλέξανδρος, Αἰγαῖος, φιλόσοφος περιπατητικὸς, διδάσκαλος Νέρωνος ἅμα Χαιρήμονι φιλοσόφῳ.

ΠΕΡΙ ΑΛΚΙΔΑΜΑΝΤΟΣ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ

Ἀλκιδάμας, φιλόσοφος, ἀπὸ Ἐλαίας τῆς Ἀσίας, Διοκλέους υἱὸς, μουσικὰ γεγραφότος, μαθητὴς Γοργίου τοῦ Λεοντίνου.

ΠΕΡΙ ΑΜΜΩΝΙΟΥ, ΤΟΥ ΚΑΙ ΑΛΕΞΑΝΔΡΟΥ

Ἀμμώνιος, φιλόσοφος, ὁ καλούμενος Ἀλεξανδρεύς· οὗτος διεδέξατο τὴν σχολὴν Ἀριστάρχου, πρὸ τῆς μοναρχίας τοῦ Αὐγούστου.

ΠΕ-

ΠΕΡΙ ἈΠΟΛΛΩΝΙΟΥ ΤΟΥ ΤΥΑΝΕΩΣ.

Ἀπολλώνιος Τυανεὺς, φιλόσοφος, ἐπὶ Κλαυδίου καὶ Γαΐου καὶ Νέρωνος, μέχρι Νέρβα, συνέταξε τελετὰς, ἢ περὶ θυσιῶν, διαθήκην, χρησμοὺς, ἐπιστολὰς, Πυθαγόρου βίον, καὶ ἄλλα πολλά.

ΡΗΤΟΡΕΣ

ΠΕΡΙ ἈΝΤΙΠΑΤΡΟΥ ΤΟΥ ΡΗΤΟΡΟΣ.

Ἀντιπάτρῳ πατρὶς μὲν ἦν, Ἱεράπολις, πατὴρ δ' Ζεύξιδημος, τῶν ἐπιφανεστάτων. Ἀδριανοῦ καὶ Πολυδεύκους ἀκροατὴς γενόμενος, ἀπὸ τοῦ Πολυδεύκους μᾶλλον ἡρμόσατο, τὰς ὁμιλίας τῶν ἠρμένων ἐκλύων τοῦ τῆς ἑρμηνείας ῥυθμοῦ. ἐκροτεῖτο δὲ καὶ Ζήνωνος τοῦ Ἀθηναίου, τὸ περὶ τέχνην ἀκριβὲς σπουδάσαντος. ἐντυχεῖν δ' ὢν, οὐδὲ φροντισμάτων ἐκλιπὲς, ἀλλ' Ὀλυμπιακούς τε δίεισι, καὶ Παναθηναϊκοὺς καὶ εἰς ἱστορίαν τὰ Σεβήρου τοῦ βασιλέως ἔργα ἔλαβεν· ὑφ' οὗ μάλιστα ταῖς βασιλείοις ἐπιστολαῖς ἐπιταχθεὶς, λαμπρός τι ἐν αὐταῖς ἤχησε· ἐτελεύτησε δ' ἑξηκοντούτης, ἐν ὑπερῴῳ οἴκοι.

ΠΕΡΙ ἈΠΟΛΛΩΝΙΟΥ ΤΟΥ ἈΘΗΝΑΙΟΥ ΡΗΤΟΡΟΣ.

Ἀπολλώνιος ὁ Ἀθηναῖος, ἱκανὸς τὰ δικανικὰ, καὶ τὰ περὶ μελέτην οὐ μεμπτὸς, ἐπαίδευσεν Ἀθήνησι καθ' Ἡρακλείδην τε, καὶ τὴν ὁμιλίαν, τῶν πολιτικῶν θρόνων προστὰς ἐπὶ ταλάντῳ. διαπρεπὴς δὲ καὶ τὰ πολιτικὰ γενόμενος, ἔς τε πρεσβείας ὑπὲρ τῶν μεγίστων ἐπρέσβευσεν, ἔς τε λειτουργίας, αἳ μεγάλαι Ἀθήνησι νομίζονται· τὸ δ' ἐπώνυμον, καὶ νῦν ἔτι τῶν ἀρχῶν, ἐστράτευσε, καὶ τὰς ἐξ ἀνακτόρου φωνὰς, ἤδη γηραιὸς, Ἡρακλείδης, καὶ Λογίμου, καὶ Γλαύκου, καὶ τῶν τοιούτων ἐξηγησάμενος, εὐφωνίᾳ μὲν ἀπολείπων, σεμνότητι δὲ, καὶ μεγαλοπρεπείᾳ, καὶ κόσμῳ μετ' αὐτῶν πολλοὺς δοκῶν τῶν ἄνω. πρεσβεύων δὲ παρὰ Σεβῆρον ἐν Ῥώμῃ τὸν αὐτοκράτορα, ἀπεδύσατο πρὸς Ἡρακλείδην τὸν σοφιστὴν τὸν ὑπὲρ μελέτης ἀγῶνα· καὶ ἀπῆλθεν ὁ μὲν, τὸ ἀτελὲς ἀφαιρεθεὶς· ὁ δὲ Ἀπολλώνιος, δῶρα ἔχων. διαλλάττοντος δὲ τοῦ Ἡρακλείδου λόγον ἐς ἀλήθειαν ὑπὲρ τοῦ Ἀπολλωνίου, ὡς αὐτίκα δὴ διδάξω· ἐν Ἀθήναις, ἡνίκα Ἀντῖνος τὸν αὐτοκράτορα ναὸν, καὶ τοὺς ἐξ ἁπάσης γῆς ἀρετὰς συνῆγε, καὶ πρὸς αὐτὸν εἰπόντος·

ἄρα σε ἀναγινώσκειν τὸν πρὸς Λεπτίνην, ὅτι μὴν δὲ ὁ Ἀπολλώνιος, ὁ γὰρ δὴ ἐκ [illegible] τῆς ὁπλώσεως γεγονὼς) Ἀπολλώνιος λέγεται ὁ Ἀπολλώνιος ἐκ τῆς Ἀλεξανδρείας, τὸν δὲ ἐκ ἀκροατοῦ γνωρίμους [illegible] δὲ ὅμως ἐς [illegible] ἐμμέτρως τι, καὶ σκεπασθέντες ἐπιλαθόμενοι πολλοὶ ἐν τῷ Ἀθηναίων δήμῳ πολιτείας, ἀλλὰ τι πόνῳ ἐκ [illegible] ἦν.

ΠΕΡΙ ΑΝΤΙΟΧΟΥ ΤΟΥ ΡΗΤΟΡΟΣ

Ἀντίοχος, ὁ γένος ἐκ σοφιστές, τὰ μὲν οὖν κατὰ [illegible] ἐπιφανέστατος ἦν κατὰ τὴν Κιλικίαν τὰ δὲ ὡς διδασκάλου ἐς πολλοὺς, φανερώτατος τῶν Ἑλλήνων. Ἀκροαταῖς μὲν ἄκουε, τοῖς ἔτι Χρόνῳ δὲ, ἤδη ξυνιεὶς οὐδὲν ἂν ἀμφοῖν [illegible] τοι, τὸ γλῶτταν ἀττικίζειν τι καὶ παραβολῆς ἑρμηνεύων [illegible] ἐκ ἀκροατοῦ αὐτοῦ Διονύσιος τοῦ Ἀντιοχέως βεβαιοῖ, καὶ σοφὸς εἰς μονῳδίαν, Διονύσιος Μιλήσιος, κατηχηθεὶς τῆς τε Ἐφεσίων φρονηματωδέστερον ὁ ἀνθρώπων γνωρίμους, διέβαλλεν ὡς μονῳδία τε κατεπισπαστικὴ αὐτοῦ μᾶλλον, ἢ λεπτολόγου φαίνεσθαι τι, ἐκ μελέτης ἐλλογιμώτατος ἦν ἀπραγμόνως μὲν γὰρ ἐν τοῖς κατὰ μετρίως χρώμενος τῶν [illegible] προβλημάτων τῶν κατηγοριῶν καὶ ἐπιστροφῆς εὐφυεστάτης δὲ τῆς ἀπολογίας, ἐκ τοῦ ἠθικοῦ καὶ καθάπαξ τῷ εἴδει τοῦ λόγου, διεσπάσθη μὲν σοφιστικῶς σοφιστικῶς δὲ, διανοούμενος ἐκ τε πάθη αὐτοῦ σοφιστοῦ κεχρημένος· ὁ γὰρ μονῳδίας ἀπεμιμεῖτο, οὐ θρήνους [illegible] τες, ἀλλ' ἐβραχυλόγει κατὰ τὰς διανοίας λόγῳ κρείττονι, ὡς ἐν τῷ αὐτοῦ συγγράμματι δηλοῦται.

ΠΕΡΙ ΑΝΔΟΚΙΔΟΥ ΤΟΥ ΡΗΤΟΡΟΣ

Ἀνδοκίδης, Ἀθηναῖος ῥήτωρ τῶν ἀριστοκρατικῶν δέκα, υἱὸς Λεωγόρου, ἀπόγονος Τηλεμάχου τοῦ Ὀδυσσέως καὶ Ναυσικάας, ὥς φησιν Ἑλλάνικος.

ΠΕΡΙ ΑΝΔΡΟΜΑΧΟΥ

Ἀνδρόμαχος Νεαπολίτης, ἐκ Συρίας σοφιστής, υἱὸς Ζωνᾶ, καὶ Σαβίνου παιδεύσας ἐν Νικομηδείᾳ, ἐπὶ Διοκλητιανοῦ βασιλέως.

ΠΕΡΙ ΑΝΔΡΟΤΙΩΝΟΣ

ΑΝδροτίων Ἄνδρωνος, Ἀθηναῖος ῥήτωρ καὶ δημαγωγὸς, μαθητὴς Ἰσοκράτους.

ΠΕΡΙ ΑΝΤΙΦΩΝΤΟΣ

ΑΝτιφῶν Σοφίλου διδασκάλου λόγων ῥητορικῶν, Ἀθηναῖος [illegible] λέγεται [illegible] τοῦ δικανικοῦ χαρακτῆρος μετὰ Γοργίαν τὸν Λεοντῖνον [illegible] ἡ κωμῳδία τοῦ Ἀντιφῶντος [illegible] λόγους κατὰ τὸ δίκαιον συγκειμένους [illegible] χρημάτων, [illegible] λέγεται δὲ Θουκυδίδου [illegible] διδάσκαλος [illegible] Σικελίαν [illegible] Διονυσίου τοῦ τυράννου [illegible] Ἀντιφῶντι [illegible] Διονυσίου [illegible] τραγῳδίας [illegible] τοῦ τυράννου [illegible] χαλκὸν [illegible] χαλκὸν [illegible] Ἀντιφῶν [illegible] Ἀρμόδιος καὶ Ἀριστογείτονος [illegible] Διονυσίου, καὶ [illegible] τοὺς Σικελιώτας.

ΠΕΡΙ ΑΝΔΡΟΚΛΕΙΔΟΥ

ΑΝδροκλείδης, ὁ τοῦ Σιμωνίδου τοῦ [illegible] Φιλαδέλφου [illegible] Γηρυονέα [illegible] μέμνηται αὐτοῦ ἐν τῷ περὶ [illegible].

ΠΕΡΙ ΑΠΟΛΛΩΝΙΟΥ ΥΙΟΥ ΑΡΧΕΒΟΥΛΟΥ

ΑΠολλώνιος Ἀρχιβίου, ἢ Ἀρχεβίου, ἔγραψε περὶ λέξεων Ὁμηρικῶν κατὰ στοιχεῖον.

ΠΕΡΙ ΑΓΑΘΟΥ

ΑΓαθίας, σχολαστικὸς Σμυρναῖος, [illegible] Πρόκλου [illegible] συνέγραψε [illegible] καὶ ἔμμετρα βιβλία, καὶ [illegible] τὰ τε καλούμενα Δαφνιακὰ, καὶ τὸν κύκλον τῶν νέων ἐπιγραμμάτων, ὧν [illegible] καὶ [illegible] συνά-

 με-

μαι δὲ Γαΐου τῦ Σιδωνίου, κ̣ Μακεδονίῳ τῷ ὑπάτῳ, κ̣ Τριβωνιανῷ, ἐπὶ τῶ Ἰουστινιανοῦ χρόνων.

ΠΕΡΙ ΑΛΕΞΙΔΟΣ ΤΟΥ ΚΩΜΙΚΟΥ.

Ἄλεξις Θούριος, κωμικὸς ὃς ἦν πρότερον Σύβαρις ἐκαλεῖτο. ἐδίδαξε δράματα σμ᾽. γέγονε πάτρως Μενάνδρῳ τῷ κωμικῷ ἦγε υἱὸν Στέφανον, ἢ αὐτὸν κωμικόν.

ΠΕΡΙ ΑΛΚΑΙΟΥ ΤΟΥ ΤΡΑΓΙΚΟΥ.

Ἀλκαῖος, Ἀθηναῖος τραγικὸς ὅν τινες θέλουσι πρῶτον τραγικὸν γεγονέναι.

ΠΕΡΙ ΑΛΚΑΙΟΥ ΤΟΥ ΚΩΜΙΚΟΥ.

Ἀλκαῖος, Μιτυληναῖος, κωμικὸς τῆς ἀρχαίας κωμῳδίας, ἔγραψε δράματα δέκα.

ΠΕΡΙ ΑΛΚΜΑΝΟΣ

Ἀλκμὰν Λάκων, ἀπὸ Μεσσόας, λυρικὸς, ἐραστὴς τῶν γυναικῶν μελῶν, ἔγραψε βιβλία ς μέλη, ἢ κολυμβώσας, πρῶτος εἰσήγαγε τὸ μὴ ἑξαμέτροις μελῳδεῖν. χρῆται Δωρίδι διαλέκτῳ, ὡς Λακεδαιμόνιος.

ΠΕΡΙ ΑΝΑΚΡΕΟΝΤΟΣ

Ἀνακρέων Τήϊος, λυρικὸς ἔγραψεν ἐλεγεῖα ἢ ἰάμβους, Ἰάδι πάντα διαλέκτῳ, ὑπὸ παροίνια μέλη, ἢ τὰ καλούμενα Ἀνακρεόντεια.

ΠΕΡΙ ΑΝΑΞΑΝΔΡΙΔΟΥ

Ἀναξανδρίδης Ἀναξάνδρου, Ῥόδιος, ἐκ Καμείρου γεγονὼς ἐν τοῖς ἀγῶσι Φιλίππου τοῦ Μακεδόνος ἔγραψε δράματα ξε᾽ καὶ πρῶτος οὗτος ἔρωτας ἢ παρθένων φθορὰς ὁ παμμέγαρος εἰσήγαγεν.

ΠΕΡΙ ΑΝΑΞΙΠΠΟΥ

κάτω οὐχ ἅμα. οὕτω γὰρ καὶ τὰ παρ' ἡμῖν πυρὰ ἐξ ἀποστήματος θεωρούμενα, κατὰ τὴν αἴσθησιν θεωρεῖται. καὶ πᾶν δὲ εἰς τοῦτο τὸ μέρος ἔνστημα, ῥᾳδίως διαλυθήσεται, ἐάν τις τοῖς ἐναργήμασι προσέχῃ, ὅπερ ἐν τοῖς περὶ φύσεως βιβλίοις δείκνυμεν. ἀνατολὰς καὶ δύσεις ἡλίου καὶ σελήνης καὶ τῶν λοιπῶν ἄστρων, καὶ κατὰ ἄναψιν γίνεσθαι δύνασθαι καὶ κατὰ σβέσιν, τοιαύτης οὔσης περιστάσεως καθ' ἑκατέρους τοὺς τόπους, ὥστε τὰ προειρημένα ἀποτελεῖσθαι· οὐδὲ γὰρ τῶν φαινομένων ἀντιμαρτυρεῖ. κατ' ἐμφάνειάν τε ὑπὲρ γῆς, καὶ πάλιν ἐπιπροσθέτησιν τὸ προειρημένον δύναιτ' ἂν συντελεῖσθαι· οὐδὲ γάρ τι τῶν φαινομένων ἀντιμαρτυρεῖ. τάς τε κινήσεις αὐτῶν, οὐκ ἀδύνατον μὲν γίνεσθαι κατὰ τὴν τοῦ ὅλου οὐρανοῦ δίνην, κατὰ τὴν ἐξ ἀρχῆς ἐν τῇ τοῦ κόσμου γενέσει ἀνάγκην ἀπογεννηθεῖσαν ἐπ' ἀνατολῇ· εἶτα τῇ θερμασίᾳ τοῦ πυρὸς ἀεὶ ἐπὶ τοὺς ἑξῆς τόπους ἰόντος. τροπὰς ἡλίου καὶ σελήνης, ἐνδέχεται μὲν γίνεσθαι κατὰ λόξωσιν οὐρανοῦ, οὕτω τοῖς χρόνοις κατηναγκασμένου. ὁμοίως δὲ καὶ κατὰ ἀέρος ἀντέξωσιν, ἢ καὶ ὕλης ἀεὶ ἐπιτηδείας ἐχομένης ἐμπιπραμένης, τῆς δὲ καταλειπούσης, ἢ καὶ ἐξ ἀρχῆς τοιαύτην δίνην τοῖς ἄστροις τούτοις, ὥστε οἷον τι ἕλικα κινεῖσθαι. πάντα γὰρ τὰ τοιαῦτα καὶ τὰ τούτοις συγγενῆ, οὐδενὶ τῶν ἐναργημάτων διαφωνεῖ, ἐάν τις ἀεὶ ἐπὶ τῶν τοιούτων μερῶν ἐχόμενος τοῦ δυνατοῦ εἰς τὸ σύμφωνον τοῖς φαινομένοις ἕκαστον τούτων δύνηται ἐπάγειν, μὴ φοβούμενος τὰς ἀνδραποδώδεις τῶν ἀστρολόγων τεχνιτείας. κένωσίν τε σελήνης, καὶ πάλιν πλήρωσιν, καὶ κατὰ στροφὴν τοῦ σώματος, τούτου δύναιτ' ἂν γίνεσθαι, καὶ κατὰ σχηματισμοὺς ἀέρος ὁμοίως. ἔτι τε καὶ κατὰ προσθετήσεις, καὶ κατὰ πάντας τρόπους καθ' οὓς καὶ τὰ παρ' ἡμῖν φαινόμενα ἐκκαλεῖται εἰς τὰς τούτου τοῦ εἴδους ἀποδόσεις. ἐὰν μὴ τις τὸν μοναχῇ τρόπον κατηγαπηκὼς, τοὺς ἄλλους κενῶς ἀποδοκιμάζῃ, οὐ τεθεωρηκὼς τί δυνατὸν ἀνθρώπῳ θεωρῆσαι, καὶ τί ἀδύνατον, καὶ διὰ τοῦτο ἀδύνατα θεωρεῖν ἐπιθυμῶν. ἔτι τε ἐνδέχεται τὴν σελήνην ἐξ ἑαυτῆς ἔχειν τὸ φῶς, ἐνδέχεται δὲ ἀπὸ τοῦ ἡλίου. καὶ γὰρ παρ' ἡμῖν θεωρεῖται πολλὰ μὲν ἐξ ἑαυτῶν ἔχοντα, πολλὰ δὲ ἀφ' ἑτέρων. καὶ οὐδὲν ἐμποδοστατεῖ τῶν ἐν τοῖς μετεώροις φαινομένων, ἐάν τις τοῦ πλεοναχοῦ τρόπου ἀεὶ μνήμην ἔχῃ, καὶ τὰς ἀκολούθους αὐτοῖς ὑποθέσεις ἅμα καὶ αἰτίας συνθεωρῇ, μὴ ἀναβλέπων εἰς τὰ ἀνακόλουθα ταῦτα, καὶ καταρρέπῃ ἄλλοτε ἐπὶ τὸν μοναχὸν τρόπον. ἡ δὲ ἔμφασις τοῦ προσώπου ἐν αὐτῇ δύναται μὲν γίνεσθαι καὶ κατὰ παραλλαγὴν μερῶν, καὶ κατ' ἐπιπροσθέτησιν· καὶ ὅσοι πάντα ἂν τρόποι θεωροῖντο

τὰ

τὸ σύμφωνον τῆς φαντασίας κατεχόμενον ἐπὶ πάντων τῶν μετεώρων τῶν τοιούτων ἐχόμενοι, ἢ προσθέσθαι. ὁ γὰρ τισι μαχόμενος τοῖς ἐναργήμασιν οὐδέποτε δυνήσεται ἀταραξίας γνησίου μεταλαβεῖν. ἔκλειψις ἡλίου καὶ σελήνης δύναται μὲν γίνεσθαι καὶ κατὰ σβέσιν, καθάπερ καὶ παρ' ἡμῖν τοῦτο θεωρεῖται γινόμενον· καὶ ἤδη κατ' ἐπιπρόσθησιν ἄλλων τινῶν, ἢ γῆς, ἢ οὐρανοῦ, ἢ τινος ἑτέρου τοιούτου. καὶ ὧδε τοὺς οἰκείους ἀλλήλοις τρόπους θεωρητέον, καὶ τὰς ἅμα συγκρίσεις τινῶν ὅτι οὐκ ἀδύνατον γίνεσθαι. Ἔτι τε τάξιν περιόδου, καθάπερ ἔνια καὶ παρ' ἡμῖν τῶν τυχόντων γίνεται λαμβανέσθω· καὶ ἡ θεία φύσις πρὸς ταῦτα μηδαμῇ προσαγέσθω· ἀλλ' ἀλειτούργητος διατηρείσθω, καὶ ἐν τῇ πάσῃ μακαριότητι. ὡς εἰ τοῦτο μὴ πραχθήσεται, ἅπασα ἡ περὶ τῶν μετεώρων αἰτιολογία ματαία ἔσται, καθάπερ τισὶν ἤδη ἐγένετο οὐ δυνατοῦ τρόπου ἐφαψαμένοις, εἰς δὲ τὸ μάταιον ἐκπεσοῦσι, τῷ καθ' ἕνα τρόπον οἴεσθαι γίνεσθαι μόνον, τοὺς δὲ ἄλλους ἅπαντας τοὺς κατὰ τὸ ἐνδεχόμενον ἐκβάλλειν, εἴς τε τὸ ἀδιανόητον φερομένοις, καὶ τὰ φαινόμενα ἃ δεῖ σημεῖα ἀποδέχεσθαι μὴ δυναμένοις συνθεωρεῖν χαίρειν. Μῆκος νυκτῶν καὶ ἡμερῶν παραλλάττοντα καὶ παρὰ τὸ ταχείας ἡλίου κινήσεις γίνεσθαι, καὶ πάλιν βραδείας, ὑπὲρ γῆς· παρὰ τὰ μήκη τόπων παραλλάττοντα, καὶ τόπους τινὰς περαίνειν τάχιον, ὡς καὶ παρ' ἡμῖν ἢ καὶ βραδύτερον ἴσα θεωροῦντες. οἷς συμφώνως δεῖ λέγειν ἐπὶ τῶν μετεώρων· οἱ δὲ τὸ ἓν λαμβάνοντες, τοῖς τε φαινομένοις μάχονται, καὶ τοῦ ᾗ δυνατὸν ἀνθρώπῳ θεωρῆσαι, διαπεπτώκασιν. Ἐπισημασίαι δύνανται γίνεσθαι, καὶ κατὰ συγκυρήσεις καιρῶν, καθάπερ ἐν τοῖς ἐμφανέσι παρ' ἡμῖν ζῴοις· καὶ παρ' ἑτεροιώσεις ἀέρος καὶ μεταβολάς· ἀμφότερα γὰρ ταῦτα οὐ μάχεται τοῖς φαινομένοις. ἐπὶ ποίαις δὲ, παρὰ τοῦτο ἢ τοῦτο τὸ αἴτιον γίνεται, οὐκ ἔστι συνιδεῖν. Νέφη δὲ δύναται γίνεσθαι καὶ συνίστασθαι, καὶ παρὰ πιλήσεις ἀέρος πνευμάτων συνώσεσι, καὶ παρὰ περιπλοκὰς ἀλληλούχων ἀτόμων, καὶ ἐπιτηδείων εἰς τὸ τοῦτο τελέσαι, καὶ κατὰ ῥευμάτων συλλογὴν ἀπό τε γῆς καὶ ὑδάτων· καὶ κατ' ἄλλους δὲ τρόπους πλείους αἱ τῶν τοιούτων συστάσεις οὐκ ἀδυνατοῦσι συντελεῖσθαι. ἤδη δ' ἐξ αὐτῶν, ᾗ μὲν θλιβομένων, ᾗ δὲ μεταβαλλόντων, ὕδατα δύναται συντελεῖσθαι. ἔτι τε πνεύματα, κατὰ ἀποφορὰν ἀπὸ ἐπιτηδείων τόπων, δι' ἀέρος κινουμένων, βιαιοτέρας ἐπιφορᾶς γινομένης ἀπό τινων ἀθροισμάτων, ἐπιτηδείων εἰς τὰς τοιαύτας ἐκπέμψεις. Βροντὰς ἐνδέχεται γίνεσθαι, καὶ κατὰ πνεύματος ἐν τοῖς κοιλώμασι τῶν νεφῶν ἀνείλησιν, καθάπερ ἐν τοῖς ἡμετέροις ἀγγείοις

κα

ὁ αὐτὸς πρὸς πεπνευματωμένου βόμβον ἐν αὐτοῖς· καὶ κατὰ ῥήξεις δὲ νεφῶν, καὶ διαστάσεις· καὶ κατὰ παρατρίψεις δὲ νεφῶν, καὶ κατάξεις πῆξιν εἰληφότων κρυσταλλοειδῆ, καὶ τὸ ὅλον καὶ τοῦτο τὸ μέρος πλεοναχῶς λέγειν ἐκκαλεῖται τὰ φαινόμενα. καὶ ἀστραπαὶ δ' ὡσαύτως γίνονται κατὰ πλείους τρόπους· καὶ γὰρ κατὰ παράτριψιν καὶ σύγκρουσιν νεφῶν, ὁ πυρὸς ἀποτελεστικὸς σχηματισμὸς ἐξολισθαίνων, ἀστραπὴν γεννᾷ· καὶ κατ' ἐκριπισμὸν ἐκ τῶν νεφῶν ὑπὸ πνευμάτων τῶν τὴν λαμπηδόνα ταύτην παρασκευαζόντων· καὶ κατ' ἐκπιασμὸν θλίψεως τῶν νεφῶν γινομένης, εἴθ' ὑπ' ἀλλήλων, εἴθ' ὑπὸ πνευμάτων· καὶ κατ' ἐμπερίληψιν δὲ τοῦ ἀπὸ τῶν ἄστρων κατεσπαρμένου φωτός, εἶτα συνελαυνομένου ὑπὸ τῆς κινήσεως νεφῶν τε καὶ πνευμάτων, καὶ διεκπίπτοντος διὰ τῶν νεφῶν· ἢ κατὰ διήθησιν τῶν νεφῶν τοῦ λεπτομερεστάτου φωτός· ἢ ἀπὸ τοῦ πυρὸς τὰ νέφη συνειλεῖσθαι, καὶ τὰς βροντὰς ἀποτελεῖσθαι, καὶ κατὰ τὴν τούτου κίνησιν, καὶ κατὰ τὴν πνεύματος ἐκπύρωσιν, τὴν γενομένην διά τε συντονίας φορᾶς, καὶ διὰ σφοδρὰν κατείλησιν. καὶ κατὰ ῥῆξιν δὲ νεφῶν ὑπὸ πνευμάτων ἔκπτωσιν τῶν πυρὸς ἀποτελεστικῶν ἀτόμων, καὶ τὸ τῆς ἀστραπῆς φάντασμα ἀποτελούντων· καὶ κατ' ἄλλους δὲ πλείους τρόπους ῥᾳδίως ἔσται καθορᾶν ἐχόμενον ἀεὶ τῶν φαινομένων καὶ τὰ τούτοις ὅμοια δυνάμενον συνθεωρεῖν. προτερεῖ δὲ ἀστραπὴ βροντῆς, ἐν τοιᾷδέ τινι περιστάσει νεφῶν καὶ διὰ τὸ ἅμα τῷ τὸ πνεῦμα ἐμπίπτειν, ἐξωθεῖσθαι τὸν ἀστραπῆς ἀποτελεστικὸν σχηματισμόν, ὕστερον δὲ τὸ πνεῦμα ἀνειλούμενον τοῦτον ἀποτελεῖν τὸν βόμβον· καὶ κατ' ἔμπτωσιν δὲ ἀμφοτέρων ἅμα, τῷ τάχει συντονωτέρῳ κεχρῆσθαι πρὸς ἡμᾶς τὴν ἀστραπήν, ὑστερεῖν δὲ τὴν βροντήν, καθάπερ ἐπ' ἐνίων ἐξ ἀποστήματος θεωρουμένων, καὶ πληγάς τινας ποιουμένων. κεραυνοὺς ἐνδέχεται γίνεσθαι, καὶ κατὰ πλείονας πνευμάτων συναγωγάς, καὶ κατείλησιν ἰσχυράν τε ἐκπύρωσιν, καὶ κατάρρηξιν μέρους, καὶ ἔκπτωσιν ἰσχυροτέραν αὐτοῦ ἐπὶ τοὺς κάτω τόπους, τῆς ῥήξεως γινομένης διὰ τὸ τοὺς ἑξῆς τόπους πυκνοτέρους εἶναι διὰ πίλησιν τῶν νεφῶν· καὶ κατ' αὐτὴν δὲ τὴν τοῦ πυρὸς ἔκπτωσιν ἀνειλουμένου, καθὼς καὶ βροντὴν ἐνδέχεται πλείονος γενομένου καὶ πνευματωθέντος ἰσχυρότερον, καὶ ῥήξαντος τὸ νέφος διὰ τὸ μὴ δύνασθαι ὑποχωρεῖν εἰς τὰ ἑξῆς, τῷ πίλησιν γίνεσθαι· τὸ μὲν πολὺ πρός τι ὄρος ὑψηλόν, ἐν ᾧ μάλιστα κεραυνοὶ πίπτουσι καὶ πρὸς ἄλληλα. καὶ κατ' ἄλλους δὲ τρόπους πλείονας ἐνδέχεται κεραυνοὺς ἀποτελεῖσθαι· μόνον ὁ μῦθος ἀπέστω· ἀπέσται δέ, ἐάν τις καλῶς τοῖς φαινομένοις ἀκολουθῶν περὶ τῶν ἀφανῶν σημειῶται. πρη-

της ἐνδέχεται γίνεσθαι, ἢ καὶ [illegible] εἰς τὰς κάτω τόπους, ἀλλοιωθῶν [illegible] πνεύματος [illegible] ὠθῆντος, ἢ διὰ τοῦ πνεύματος πολλοῦ [illegible] ἅμα ἢ τὸ [illegible] εἰς τὰ πλησίον ὠθῆντος τοῦ ὄντος πνεύματος καὶ κατ' [illegible] πνεύματος ὡς κυκλῶν ἀέρος τινὸς [illegible] ἀνωθεν καὶ ῥύσεως πολλῆς πνεύματος [illegible], ἢ ἢ [illegible] εἰς τὰ πλάγια διαρρήξῃ διὰ τῶν [illegible] τοῦ ἀέρος [illegible] ἢ γῆς μὲν γὰρ, τοῦ [illegible], [illegible], [illegible] γίνονται, ὡς ἂν καὶ ἡ [illegible] καὶ τῶν [illegible] τοῦ πνεύματος γίνηται. ἐν δὲ θαλάττῃ [illegible] σεισμὸς ἐνδέχεται γίνεσθαι, καὶ πνεύματος ἐν τῇ γῇ [illegible], ἢ [illegible] μακρὰς [illegible], καὶ [illegible] κρατοῦντος τῇ γῇ [illegible] καὶ τὸ πνεῦμα τοῦτο, [illegible] ὅτι ἐμπεριλαμβάνῃ ἐν τοῦ πόντου [illegible], ἢ ὡς [illegible] τῆς γῆς ἐν πνεύματος [illegible] ἀέρα καὶ ταῦτα δὲ [illegible] τῆς κινήσεως ἐν τῇ πλείστῃ [illegible] πολλῶν, καὶ [illegible] ἀπὸ [illegible] σφοδροτέρου τῆς γῆς [illegible], ἐνδέχεται σεισμὸς [illegible] καὶ κατ' ἄλλους δὲ τρόπους πλείονας τὰς κινήσεις ταύτας τῆς γῆς γίνεσθαι. τὰ δὲ πνεύματα συμβαίνει γίνεσθαι, ἀλλοφυλίας [illegible], καὶ κατὰ [illegible], ἢ καθ' ὕδατος [illegible] συλλογήν. τὰ δὲ λοιπὰ πνεύματα γίνεται, καὶ ὀλίγων [illegible] εἰς τὰ πολλὰ κοιλώματα, [illegible] τούτων γενομένης, χάλαζα συνίσταται, καὶ κατὰ πῆξιν [illegible], [illegible] δὲ πνευματώδη [illegible] καὶ [illegible] τινῶν [illegible] καὶ [illegible] καὶ [illegible], [illegible] καὶ κατὰ [illegible] δὲ [illegible], [illegible] ἢ ἐν τῇ [illegible] γίνεσθαι, [illegible], ἢ τὰ μέρη ὁμαλῶς [illegible] τῶν, [illegible], [illegible]. χιόνα δὲ ἐνδέχεται συνίστασθαι καὶ ὕδατος λεπτοῦ ἐκχεομένου ἐκ τῶν νεφῶν [illegible] καὶ θλίψεως [illegible] νεφῶν, καὶ [illegible]. [illegible] ἐν τῇ [illegible] λαμβάνοντα, διὰ τινα [illegible] ἐν τοῖς [illegible] τόποις τῶν νεφῶν ψυχρασίας [illegible] ἢ καὶ πῆξιν [illegible] ἐν τοῖς [illegible] ὁμαλῶς [illegible] ἐν τῶν νεφῶν [illegible], [illegible] ἄλληλα θλιβόμενα [illegible] καὶ [illegible]· ἢ [illegible], χάλαζαν [illegible], ὃ μάλιστα γίνεται ἐν τῷ ἔαρι. ἢ καὶ [illegible] δὲ νεφῶν, [illegible] τῆς χιόνος. [illegible], ἢ κατ' ἄλλους δὲ τρόπους ἐνδέχεται χιόνα συνίστασθαι,

[illegible]

δρόσου συμπλεῦνται, ἢ καὶ συνάπτει πρὸς ἄλληλα ἐν τῷ ἀέρι τῷ τοιούτῳ, ἡ τῆς τοιαύτης ὑγρασίας ἀποπληκτικὰ γίνεται· καὶ καὶ φορεῖ δ', ἡ ἀποκοπῆρον τόπον, ὃ δέδεται κεκτημένον ἐν τοῖς τόποις μάλιστα δρόσος συμπλεῦται. οὕτω συνόδος τόπῳ ὡς τὸ αὐτὸ λαβόντα ἐκ ἀποπλεῖν ὑγρασίας, καὶ πάλιν φορὰ ἐπὶ τὰς κάτω τόπους, καθάπερ ὁμοίως καὶ παρ' ἡμῖν ἔτι πλεῖον συμπλεῦται τοιαῦτά ἐστι. τὸ δρόσου τόπου τάξιν τινὰ ποιὰν λαβόντα διὰ περιφοραν ἴσα ἀέρος ψυχρῷ, κρύσταλλος συμπλεῦται καὶ κατ' ἔκθλιψιν μὲν τῇ περιφερῆ σχηματισμὸν ἐν τῷ ὕδατι, συνόντο δ' τῷ σκαληνῷ καὶ ἐξογωνίῳ τῷ ἐν τῷ ὕδατι ὑπαρχόντων. καὶ καὶ ἔξωθεν δὲ τῷ τοιούτῳ πρόσκειται ἐκ συμπλασθεῖσι, ποιῶν τῷ ὕδατι παρεσκευαστί ποτε τῷ περιφερῶν ἐκθλίψεσιν. ἴσως γίνεται ἀέρος ἄλλο ἄλλο τοῦ τι φωτὸς ἐκ τὰ εἴδος, ἢ τι τοῦ χρώματος τούτου πάθημα ποιοῦσι, οὔτε πάντα, οὔτε μονοειδῶς ἀφ' οὗ πάλιν ἀπολαύοντες τὰ ὁμοριοῦντα τὰ εἴδος χρόνον λήψεται τοιοῦτα, ὅπου θεωρεῖται κατὰ προσλάμψιν πρὸς τὰ μέρη. τῷ δὲ τῆς ἀδελφότητος τούτου φάντασμα γίνεται, διὰ τὸ διάστημα πάσχειν ἴσον ὑπὸ τῆς ὄψεως θεωρεῖσθαι, ἡ συνόντος τοιαύτη λαμβανομένη τὸ ἐν τῷ ἀέρι πρῶτον, ἢ ἐν τοῖς νέφεσιν ἀπὸ τοῦ αὐτοῦ εἴδους προσφερομένου αὐτῷ, τῆς σελήνης ἢ τι ἐκ αὐτῆς ῥεύματα ἀποφερόμενα ὁμαλῶς ἀποτελοῦντα ἔτι τοσοῦτον ἐφ' ὅσον κύκλῳ ἐκεῖ τῆς ὡς τὸ σφαιροειδὲς τοῦτο, εἰ μή τι παρεμπεσὸν διακείται, ἢ ἐκ τοῦ πάθους αὐτῆς, ἀναπίπτοντες συμπάσχουσι πάσχειν, ὡς τὸ περιφερὲς τὸ περὶ αὐτὸ καὶ πεχυμένης περιεστῶσι· ἢ γίνεται κατὰ μέρη τινά. ἔστι ἔξωθεν βιαζομένου τινὸς ῥεύματος, ἢ τῆς θερμασίας ἐπιτηδείου τόπου ἀντιλαμβανομένης, ὡς τι τούτῳ ἀπεργάζεσθαι. κομῆται αὐτοῖς γίνεται, ὅταν πυρὸς ἐν τοῖς περὶ δὲ χρόνον τινὰ ἐν τοῖς μετεώροις συνιστάμενος, περιστάσεως γινομένης, εἶδός τινα κινεῖται διὰ χρόνου τοῦ πρὸς ἔχοντος ὑπὸ ἡμᾶς ὥστε τι τοιοῦτον ἀέρα ἀναφαίνηται, ἢ αὐτὰ ἐν χρόνοις τισὶν ὡρισμένοις διά τινα περίστασιν, καὶ ὡς τὰς καθ' ἡμᾶς τόπους ἐλθόντα, ἐκ ἐμφανῆ γίνεσθαι τὰ ὑπεράνω τόπου γίνεσθαι μετὰ τὰς ἀπηριθμημένας ταύτας αἰτίας τινὰ ἃ ἀρμόττει αὐτοῦ. ὃ συμβαίνει, ἐ μόνον τῷ τι μέρος τοῦτο τοῦ κόσμου ἐστὶ περὶ ὃ τὸ λοιπὸν ἀναχέεσθαι, καθάπερ τινὲς φασίν, ἀλλὰ καὶ τῷ ἰδίῳ ἀέρι ἔγκυκλον αὐτοῦ περιιστάμενοι, ὁ χυλωτικὸν γίνεται τοῦ περιπολοῦντ. ἢ. ἢ τι ἄλλο. ἢ δὲ δια τι ἐξῆς μετ αὐτῆς ὅλον ἐπιτήδεια μὲ ἢ ἐν δ' τούτῳ τῷ τόπῳ ἐν ᾧ κινεῖσθαι θεω-

Z 2 ρεῖ-

Digitized by Google

ρεῖται, καὶ κατ᾽ ἄλλους πλείονας τρόπους τοῦτο δύναται συντελεῖσθαι, ἐάν τε δόξῃ τὸ σύμφωνον τοῖς φαινομένοις συλλογίζεσθαι, τινὰ τῶν ἄστρων πλανᾶσθαι, οὐ ὄντα τοῖς κόσμοις χρωμένα συμβαίνειν. ἰσὰ δὲ μὴ κινεῖσθαι. ἐνδέχεται μὲν καὶ περὶ τὸ κέντρον κινούμενα τῆς ἀρχῆς ὑπὸ κατηναγκάσθαι ὥστε τι μὲν, κατὰ τὴν ἀνωμαλίαν τῶν ἄλλων φέρεσθαι ὁμαλῶς δοκεῖν τι δὲ, κατὰ τὴν ἅμα ταύτην ἀνωμαλίαν χρωμένην. ἐνδέχεται δὲ καὶ καθ᾽ ὃν τρόπον, φέρεται καὶ παρεκπίπτει αὐτοῦ τῇ ὁμαλῇ ἐπί τι ἄστε συνωθεῖται κατὰ τι ἑξῆς ὁμαλῶς τὰς ἐκκλίσεις, καὶ ἀνωμάλως πως, ὥστε τὰς θεωρουμένας περιφερείας συντελεῖσθαι τὸ δὲ μίαν αἰτίαν τούτων ἀποδιδόναι, πλεοναχῶς τῶν φαινομένων ἐγκαλουμένων, μάταιον καὶ καθήκοντος κρατούμενον ὑπὸ τῶν τὴν ματαίαν ἐπιλογισμὸν εἰληφότων, καὶ οὐ τινὰ κοινὸν αἰτίας τούτων ἀποδιδόντων, ὅτι τὴν θείαν φύσιν μηδαμῇ λειτουργοῦσαν ἀπολαύουσι τινὰς ἄστρα ἀπολυομένων τούτων θεωρίας συμβαίνει, καὶ περί τι βραδύτερον συμπεριφορὰς τὸν αὐτὸν κύκλον διεξιόντα καὶ περί τι τὸ ἐναντίον κινεῖσθαι, ἀντιστρέφεσθαι ὑπὸ τῆς αὐτῆς δίνης, καὶ περί τι ἀποφέρεσθαι, τι μὲν ὅσα πλείονος ταχυ, τι δ᾽ ἐφ᾽ ἐλάττονα τὸν αὐτὸν δίνην ἀποκαλύπτει· τὸ δὲ ἁπλῶς ἀποφαίνεσθαι περὶ τούτων, καθάπερ δὴ τοῖς πραπίδουσί τι πρὸς τοὺς πολλοὺς ἐκλαμψόντων, οἱ λεγόμενοι ἀστέρες ἐκπίπτουσι, καὶ περὶ μικρὸν, καὶ τοῦτο τρόπον ἑκατὸν δυνάσται συντελεῖσθαι, καὶ περὶ ἕνεκεν ἀνέκπτωτοι γίνεται, καθάπερ καὶ ἐπὶ τῶν ἀστραπῶν ὁλογομένη κατὰ σύνοδον ἡ ἄθρουν πορος συναπλευστικῶν, γομενώσει, καὶ κατὰ κίνησιν τῶν ἀνώτερον ἁλίας γεννήμασιν αἱ τῶν πλείονας, καὶ κατὰ τὰ κινήσεις καὶ ἐκ ἡ ὁρμὴ κατὰ τὴν σύνοδον ἐξαρχῆς γίνεται· καὶ κατὰ τεύχματος δὲ συλλογιστικὴν ποικίλματι τινι ὁμιχλῶδες, κατ᾽ ἐκτόμνοις τισι δὲ τῶν κατάλοιπων. οὐ προσαρμόζει τῷ περιέχοντι καὶ ἐφ᾽ ὧν ἐν τοπῳ ἡ ὁρμὴ γίνεται τῆς φορᾶς ἐπὶ τοῦτον ἀφωρμένας καὶ ἄλλοις δὲ τρόποις καὶ τὸ τούτο πλέονα ἀμύθητοι εἰσι. αἱ δ᾽ ἐπισημασίαι αἱ γινόμεναι ἐπί τινων ζώων, κατὰ συγκύρημα γίνονται τῶν καιροῦ. οὐ γὰρ τὰ ζῶα ἀνάγκην τινὰ προσφέρεται τῷ ἀποπληροῦσθαι χειμῶνα. οὐδὲ κάθηταί τις θεία φύσις παρατηροῦσα τὰ τῶν ζώων ἐξόδους, κἄπειτα τὰς ἐπισημασίας ταύτας ἐπιτελεῖ. οὐδὲ γὰρ εἰς τὸ τυχὸν ζῶον κἂν μικρῷ χαριέστερον ᾖ, ἡ τοιαύτη μωρία ἐμπέσῃ, μὴ ὅτι εἰς παντελῆ εὐδαιμονίαν κεκτημένον. ταῦτα δὲ πάντα, Πυθόκλεις, μνημονεύσαι κατὰ πολὺ τι γὰρ τοῦ μύθου ἐκβήσῃ, καὶ τὰ ὁμογενῆ τούτοις συνορᾷν δυνήσῃ. μετὰ-

μᾶλλον δὲ στερεῶς ἀποδώσεις τὴν τῶν ἀρχῶν, καὶ ἀπειρίας, καὶ τῶν συγγενῶν τούτοις θεωρίαν· καὶ οὗ ἕνεκεν ταῦτα ἐκλογιζόμεθα· ταῦτα γὰρ μάλιστα συνθεωρήσαντες, ῥᾳδίως τὰς αἰτίας τῶν κατὰ μέρος αὐτὸς συνορᾶν ποιήσεις. εἰ δὲ ταῦτα μὴ κατανοήσεις, ἢ μάλιστα, ὅτι αὐτὰ ταῦτα καλῶς συνθεωρήσειας, ὅτι οὗ ἕνεκεν δεῖ θεωρεῖν ταῦτα περιεποιήσατο.

Ἡ δ' ἐπιστολὴ πρὸς Ἡρόδοτον περὶ τῶν φυσικῶν διαλαμβάνουσα ἥδ' ἐστί.

Ἐπίκουρος Ἡροδότῳ, εὖ πράττειν.

Τοῖς μὴ δυναμένοις, ὦ Ἡρόδοτε, ἕκαστα τῶν περὶ φύσεως ἡμῖν ἀναγεγραμμένων ἐξακριβοῦν, μηδὲ τὰς μείζους τῶν συντεταγμένων βίβλους διαθρεῖν, ἐπιτομὴν τῆς ὅλης πραγματείας εἰς τὸ κατασχεῖν τῶν ὁλοσχερωτάτων δοξῶν τὴν μνήμην ἱκανῶς αὐτοῖς παρεσκεύασα, ἵνα παρ' ἑκάστους τῶν καιρῶν ἐν τοῖς κυριωτάτοις βοηθεῖν αὐτοῖς δύνωνται, καθ' ὅσον ἂν ἐφάπτωνται τῆς περὶ φύσεως θεωρίας. καὶ τοὺς προβεβηκότας δὲ ἱκανῶς ἐν τῇ τῶν ὅλων ἐπιβλέψει τὸν τύπον τῆς ὅλης πραγματείας τὸν κατεστοιχειωμένον δεῖ μνημονεύειν· τῆς γὰρ ἀθρόας ἐπιβολῆς πυκνὸν δεόμεθα, τῆς δὲ κατὰ μέρος, οὐχ ὁμοίως. βαδιστέον μὲν οὖν καὶ ἐπ' ἐκεῖνα συνεχῶς, ἐν τῇ μνήμῃ τὸ τοσοῦτο ποιητέον, ἀφ' οὗ ἥ τε κυριωτάτη ἐπιβολὴ ἐπὶ τὰ πράγματα ἔσται, καὶ δὴ καὶ τὸ κατὰ μέρος ἀκρίβωμα πᾶν ἐξευρήσεται, τῶν ὁλοσχερωτάτων τύπων εὖ περιειλημμένων, καὶ μνημονευομένων. ἐπεὶ καὶ τῷ τετελεσιουργημένῳ τοῦτο κυριώτατον τοῦ παντὸς ἀκριβώματος γίνεται, τὸ ταῖς ἐπιβολαῖς ὀξέως δύνασθαι χρῆσθαι, καὶ πρὸς ἁπλᾶ στοιχειώματα καὶ φωνὰς συναγομένων. οὐ γὰρ οἷόν τε τὸ πύκνωμα τῆς συνεχοῦς τῶν ὅλων περιοδείας εἰδέναι, μὴ δυνάμενον διὰ βραχέων φωνῶν ἅπαν ἐμπεριλαβεῖν ἐν αὐτῷ τὸ καὶ κατὰ μέρος ἂν ἐξακριβωθέν. ὅθεν δὴ πᾶσι χρησίμης οὔσης τοῖς ᾠκειωμένοις φυσιολογίᾳ, τῆς τοιαύτης ὁδοῦ, παρεγγυῶν τὸ συνεχὲς ἐνέργημα ἐν φυσιολογίᾳ, καὶ τῷ τοιούτῳ μάλιστα ἐγγαληνίζων τῷ βίῳ, ἐποίησά σοι καὶ τοιαύτην τινὰ ἐπιτομὴν καὶ στοιχείωσιν τῶν ὅλων δοξῶν. πρῶτον μὲν οὖν τὰ ὑποτεταγμένα τοῖς φθόγγοις, ὦ Ἡρόδοτε, δεῖ εἰληφέναι, ὅπως ἂν τὰ δοξαζόμενα ἢ ζητούμενα ἢ ἀπορούμενα ἔχωμεν εἰς ὃ ἀνάγοντες, ἐπικρίνειν, καὶ μὴ ἄκριτα πάντα ἡμῖν ᾖ εἰς ἄπειρον ἀποδεικνύουσιν, ἢ κενοὺς φθόγγους ἔχωμεν. ἀνάγκη γὰρ τὸ πρῶτον ἐννόημα καθ' ἕκαστον φθόγγον βλέπεσθαι, καὶ μηθὲν ἀποδείξεως προσδεῖσθαι, εἴπερ ἕξομεν τὸ ζητούμενον, ἢ ἀπορούμενον, καὶ δοξαζόμενον, ἐφ' ὃ ἀνάξομεν. εἶτα κατὰ τὰς αἰσθήσεις δεῖ πάντα τηρεῖν, καὶ ἁπλῶς τὰς παρούσας ἐπιβολάς, εἴτε διανοίας,

εἴθ'

εἴτ' ἄλλου ὅτου δὴ τῶν κριτηρίων· ὁμοίως δὲ καὶ τὰ ὑπάρχοντα πάθη, ὅπως ἂν καὶ τὸ προσμένον, καὶ τὸ ἄδηλον ἔχωμεν οἷς σημειωσόμεθα. ταῦτα δὲ διαλαβόντας, συνορᾶν ἤδη περὶ τῶν ἀδήλων. πρῶτον μὲν ὅτι οὐδὲν γίνεται ἐκ τοῦ μὴ ὄντος· πᾶν γὰρ ἐκ παντὸς ἐγίνετ' ἄν, σπερμάτων γε οὐθὲν προσδεόμενον. καὶ εἰ ἐφθείρετο δὲ τὸ ἀφανιζόμενον εἰς τὸ μὴ ὄν, πάντα ἂν ἀπολώλει τὰ πράγματα, οὐκ ὄντων τῶν εἰς ἃ διελύετο. καὶ μὴν καὶ τὸ πᾶν ἀεὶ τοιοῦτον ἦν, οἷον νῦν ἐστι, καὶ ἀεὶ τοιοῦτον ἔσται. οὐθὲν γάρ ἐστιν εἰς ὃ μεταβαλεῖ· παρὰ γὰρ τὸ πᾶν οὐθέν ἐστιν, ὃ ἂν εἰσελθὸν εἰς αὐτὸ τὴν μεταβολὴν ποιήσαιτο. καὶ ἐν τῇ πρώτῃ περὶ φύσεως τὸ πᾶν ἐστι σώματα· μὲν γὰρ ὡς ἔστιν, αὐτὴ ἡ αἴσθησις ἐπὶ πάντων μαρτυρεῖ, καθ' ἣν ἀναγκαῖον τὸ ἄδηλον τῷ λογισμῷ τεκμαίρεσθαι, ὥσπερ προεῖπον τὸ πρόσθεν. εἰ μὴ ἦν ὃ κενὸν καὶ χώραν, καὶ ἀναφῆ φύσιν ὀνομάζομεν, οὐκ ἂν εἶχε τὰ σώματα ὅπου ἦν, οὐδὲ δι' οὗ ἐκινεῖτο καθάπερ φαίνεται κινούμενα. παρὰ δὲ ταῦτα οὐθὲν οὐδ' ἐπινοηθῆναι δύναται, οὔτε περιληπτῶς, οὔτε ἀναλόγως τοῖς περιληπτοῖς, ὡς καθ' ὅλας φύσεις λαμβανόμενα, καὶ μὴ ὡς τὰ τούτων συμπτώματα, ἢ συμβεβηκότα λεγόμενα. καὶ μὴν καὶ τῶν σωμάτων τὰ μέν ἐστι συγκρίσεις, τὰ δ' ἐξ ὧν αἱ συγκρίσεις πεποίηνται. ταῦτα δέ ἐστιν ἄτομα καὶ ἀμετάβλητα, εἴπερ μὴ μέλλει πάντα εἰς τὸ μὴ ὂν φθαρήσεσθαι, ἀλλ' ἰσχύοντα ὑπομένειν ἐν ταῖς διαλύσεσι τῶν συγκρίσεων, πλήρη τὴν φύσιν ὄντα, οὐκ ἔχοντα ὅπῃ ἢ ὅπως διαλυθήσεται. ὥστε τὰς ἀρχὰς ἀτόμους ἀναγκαῖον εἶναι σωμάτων φύσεις. ἀλλὰ μὴν καὶ τὸ πᾶν ἄπειρόν ἐστι. τὸ γὰρ πεπερασμένον, ἄκρον ἔχει· τὸ δ' ἄκρον παρ' ἕτερόν τι θεωρεῖται, ὥστε οὐκ ἔχον ἄκρον, πέρας οὐκ ἔχει. πέρας δὲ οὐκ ἔχον, ἄπειρον ἂν εἴη, καὶ οὐ πεπερασμένον. καὶ μὴν καὶ τῷ πλήθει τῶν σωμάτων, ἄπειρόν ἐστι τὸ πᾶν, καὶ τῷ μεγέθει τοῦ κενοῦ. εἴτε γὰρ ἦν τὸ κενὸν ἄπειρον, τὰ δὲ σώματα ὡρισμένα, οὐθαμοῦ ἂν ἔμενε τὰ σώματα, ἀλλ' ἐφέρετο κατὰ τὸ ἄπειρον κενὸν διεσπαρμένα, οὐκ ἔχοντα τὰ ὑπερείδοντα καὶ στέλλοντα κατὰ τὰς ἀνακοπάς. εἴτε τὸ κενὸν ἦν ὡρισμένον, οὐκ ἂν εἶχε τὰ ἄπειρα σώματα ὅπη ἐνέστη. πρός τε τούτοις τὰ ἄτομα τῶν σωμάτων καὶ μεστά, ἐξ ὧν καὶ αἱ συγκρίσεις γίνονται, καὶ εἰς ἃ διαλύονται, ἀπερίληπτά ἐστι ταῖς διαφοραῖς τῶν σχημάτων περιειλημμένων. καὶ καθ' ἑκάστην δὲ σχημάτων ἁπλῶς ἄπειροί εἰσιν ἄτομοι. ταῖς δὲ διαφοραῖς οὐχ ἁπλῶς ἄπειροι, ἀλλὰ μόνον ἀπερίληπτοι. οὐδὲ

γὰρ

γὰρ ἀπείρῳ εἰς ἄπειρον ἡ τομὴ τυγχάνει· ἐπειδὴ αἱ ποιότητες μεταβάλλονται, εἰ μέλλει τις μὴ ἐν τοῖς μεγέθεσιν ἁπλῶς εἰς κενεὸν αὐτὰς ἐκβάλλειν. κινοῦνταί τε συνεχῶς αἱ ἄτομοι. προσχρόνων δὲ ἰσοταχῶς αὐτὰς κινεῖσθαι τῷ κενῷ, τὴν ἴσην ὁμοίως καὶ τῇ βαρυτάτῃ τὸν αἰῶνα. καὶ αἱ μὲν, εἰς μακρὰν ἀπ' ἀλλήλων διιστάμεναι· αἱ δὲ, αὐτοῦ τὸν παλμὸν ἴσχουσιν, ὅταν τύχωσι τῇ περιπλοκῇ κεκλιμέναι, ἢ στεγαζόμεναι παρὰ τῶν πλεκτικῶν. ἥ τε γὰρ τοῦ κενοῦ φύσις ἡ διορίζουσα ἑκάστην αὐτὴν τοῦτο παρασκευάζει τὴν ὑπέρεισιν, οὐχ οἵα τε οὖσα ποιεῖσθαι· ἥ τε στερεότης ἡ ὑπάρχουσα αὐταῖς κατὰ σύγκρουσιν, τὸν ἀποπαλμὸν ποιεῖ· ἐφ' ὁπόσον ἂν ἡ περιπλοκὴ τὴν ἀποκατάστασιν ἐκ τῆς συγκρούσεως διδῷ. ἀρχὴ δὲ τούτων οὐκ ἔστιν, αἰτίων τῶν ἀτόμων οὐσῶν καὶ τοῦ κενοῦ. μηδὲ ποιότητά τινα περὶ τὰς ἀτόμους εἶναι πλὴν σχήματος καὶ μεγέθους, καὶ βάρους· τὸ δὲ χρῶμα κατὰ τὴν θέσιν τῶν ἀτόμων ἀλλάττεται. πᾶν τε μέγεθος οὐκ ἔστι περὶ αὐτάς. οὐδέποτε γοῦν ἄτομος ὤφθη αἰσθήσει. αὕτη δ' ἡ φωνὴ τοσαῦτα πάντα μνημονευομένη τὸν ἱκανὸν τύπον ὑποβάλλει τῆς τῶν ὄντων φύσεως, ἐπινοίας. ἀλλὰ μὴν καὶ κόσμοι ἄπειροί εἰσιν, οἵ θ' ὅμοιοι τούτῳ καὶ ἀνόμοιοι. αἵ τε γὰρ ἄτομοι ἄπειροι οὖσαι, ὡς ἄρτι ἀπεδείχθη, φέρονται καὶ πορρωτάτω. οὐ γὰρ κατανήλωνται αἱ τοιαῦται ἄτομοι ἐξ ὧν ἂν γένοιτο κόσμος, ἢ ὑφ' ὧν ἂν ποιηθείη, οὔτ' εἰς ἕνα, οὔτ' εἰς πεπερασμένους, οὐδ' ὅσοι διάφοροι τούτοις. ὥστε οὐδὲν τὸ ἐμποδίζον ἐστὶ πρὸς τὴν ἀπειρίαν τῶν τοιούτων κόσμων. καὶ μὴν καὶ τύποι ὁμοιοσχήμονες τοῖς στερεμνίοις εἰσί, λεπτότησιν ἀπέχοντες μακρὰν τῶν φαινομένων. οὔτε γὰρ ἀποστάσεις ἀδυνατοῦσιν ἐν τῷ περιέχοντι γίνεσθαι τοιαῦται, οὔτ' ἐπιτηδειότητες τῆς κατεργασίας τῶν κοιλωμάτων καὶ λεπτοτήτων γίνεσθαι, οὔτ' ἀπόρροιαι τὴν ἑξῆς θέσιν καὶ βάσιν διατηροῦσαι, ἥνπερ καὶ ἐν τοῖς στερεμνίοις εἶχον. τούτους δὲ τοὺς τύπους εἴδωλα προσαγορεύομεν. καὶ μὴν καὶ ἡ διὰ τοῦ κενοῦ φορὰ, κατὰ μηδεμίαν ἀπάντησιν τῶν ἀντικοψόντων γινομένη, πᾶν μῆκος περιληπτὸν ἐν ἀπερινοήτῳ χρόνῳ συντελεῖ. βραδύτητος γὰρ καὶ τάχους ἀντικοπὴ, καὶ οὐκ ἀντικοπὴ, ὁμοίωμα λαμβάνει. οὐ μὴν οὐδ' ἅμα κατὰ τοὺς διὰ λόγου θεωρητοὺς χρόνους καὶ τὸ φερόμενον σῶμα ἐπὶ τοὺς πλείους τόπους ἀφικνεῖται· ἀδιανόητον γὰρ καὶ τοῦτο, συναφικνούμενον ἐν αἰσθητῷ χρόνῳ ὅθεν δήποθεν τοῦ ἀπείρου, οὐκ ἐξ οὗ ἂν περιλάβωμεν τὴν φορὰν τόπου, ἔσται ἀφιστάμενον. ἀντικοπῇ γὰρ ὅμοιον ἔσται, κἂν μέχρι τοσούτου τὸ τάχος τῆς φορᾶς μὴ ἀν-

ἐπιλογισμῷ χρώμενοι. δεῖ δὲ καὶ τοῦτο κατανοεῖν τὸ στοιχεῖον, ὅτι τὰ εἴδωλα ταῖς λεπτότησιν ἀνυπερβλήτοις κέχρηται, οὐθὲν ἀντιμαρτυρεῖ τῶν φαινομένων, ἢ ὅτι καὶ τάχη ἀνυπέρβλητα ἔχει, πάντα πόρον σύμμετρον ἔχοντα πρὸς τὸ μηθὲν ἀντικόπτειν, ἢ ὀλίγα ἀντικόπτειν· πολλοῖς δὲ καὶ ἀπείροις ἀντικόπτειν τι. πρὸς τούτῳ ὅτι ἡ γένεσις τῶν εἰδώλων ἅμα νοήματι συμβαίνει. καὶ γὰρ ῥεῦσις ἀπὸ τῶν σωμάτων τοῦ ἐπιπολῆς συνεχὴς, οὐκ ἐπίδηλος μειώσει διὰ τὴν ἀνταναπλήρωσιν, σῴζουσα τὴν ἐπὶ τοῦ στερεμνίου θέσιν καὶ τάξιν τῶν ἀτόμων ἐπὶ πολὺν χρόνον, εἰ καὶ ἐνίοτε συγχεομένη ὑπάρχει· καὶ συστάσεις ἐν τῷ περιέχοντι ὀξεῖαι, διὰ τὸ μὴ δεῖν κατὰ βάθος τὸ συμπλήρωμα γίνεσθαι· καὶ ἄλλοι δὲ τρόποι τινὲς γεννητικοὶ τῶν τοιούτων φύσεών εἰσιν. οὐδὲν γὰρ τούτων ἀντιμαρτυρεῖ ταῖς αἰσθήσεσιν, ἂν βλέπῃ τις τίνα τρόπον τὰς ἐναργείας, ἵνα καὶ τὰς συμπαθείας ἀπὸ τῶν ἔξωθεν πρὸς ἡμᾶς ἀνοίσει. δεῖ δὲ καὶ νομίζειν, ἐπεισιόντος τινὸς ἀπὸ τῶν ἔξωθεν, τὰς μορφὰς ὁρᾶν ἡμᾶς καὶ διανοεῖσθαι. οὐ γὰρ ἂν ἐναποσφραγίσαιτο τὰ ἔξω τὴν ἑαυτῶν φύσιν, τοῦ τε χρώματος καὶ τῆς μορφῆς, διὰ τοῦ ἀέρος τοῦ μεταξὺ ἡμῶν τε κἀκείνων, οὐδὲ διὰ τῶν ἀκτίνων, ἢ ὧν δήποτε ῥευμάτων ἀφ' ἡμῶν πρὸς ἐκεῖνα παραγινομένων, οὕτως ὡς τύπων τινῶν ἐπεισιόντων ἡμῖν ἀπὸ τῶν πραγμάτων ὁμοχρόων τε καὶ ὁμοιομόρφων, κατὰ τὸ ἐναρμόττον μέγεθος εἰς τὴν ὄψιν ἢ τὴν διάνοιαν, ὠκέως ταῖς φοραῖς χρωμένων· εἶτα διὰ ταύτην τὴν αἰτίαν τοῦ ἑνὸς καὶ συνεχοῦς τὴν φαντασίαν ἀποδιδόντων, καὶ τὴν συμπάθειαν ἀπὸ τοῦ ὑποκειμένου σῳζόντων κατὰ τὸν ἐκεῖθεν σύμμετρον ἐπερεισμὸν ἐκ τῆς κατὰ βάθος ἐν τῷ στερεμνίῳ τῶν ἀτόμων πάλσεως. καὶ ἣν ἂν λάβωμεν φαντασίαν, ἐπιβλητικῶς τῇ διανοίᾳ ἢ τοῖς αἰσθητηρίοις, εἴτε μορφῆς, εἴτε συμβεβηκότων, μορφή ἐστιν αὕτη τοῦ στερεμνίου, γινομένη κατὰ τὸ ἑξῆς πύκνωμα, ἢ ἐγκατάλειμμα τοῦ εἰδώλου. τὸ δὲ ψεῦδος καὶ τὸ διημαρτημένον ἐν τῷ προσδοξαζομένῳ ἀεί ἐστιν ἐπιμαρτυρηθήσεσθαι, εἶτ' οὐκ ἐπιμαρτυρουμένου κατά τινα κίνησιν ἐν ἡμῖν αὐτοῖς συνημμένην τῇ φανταστικῇ ἐπιβολῇ, διάληψιν δὲ ἔχουσαν, καθ' ἣν τὸ ψεῦδος γίνεται. ἥ τε γὰρ ὁμοιότης τῶν φαντασμῶν οἱονεὶ ἐν εἰκόνι λαμβανομένων, ἢ καθ' ὕπνους γινομένων, ἢ κατ' ἄλλας τινὰς ἐπιβολὰς τῆς διανοίας, ἢ τῶν λοιπῶν κριτηρίων, οὐκ ἄν ποτε ὑπῆρχε τοῖς οὖσί τε καὶ ἀληθέσι προσαγορευομένοις, εἰ μὴ ἦν τινα καὶ ταῦτα πρὸς ἃ βάλλομεν. τὸ δὲ διημαρτημένον οὐκ ἂν ὑπῆρχεν, εἰ μὴ ἐλαμβάνομεν καὶ ἄλλην τινὰ κίνησιν ἐν ἡμῖν αὐτοῖς συνημμένην μέν, διάληψιν δὲ ἔχου-

σαν

ται. ἐὰν μὲν μὴ ἐπιμαρτυρηθῇ, ἢ ἀντιμαρτυρηθῇ, τὸ ψεῦδος γίνεται· ἐὰν δὲ ἐπιμαρτυρηθῇ, ἢ μὴ ἀντιμαρτυρηθῇ, τὸ ἀληθές. καὶ ταύτην οὖν σφόδρα γε δεῖ τὴν δόξαν κατέχειν, ἵνα μήτε τὰ κριτήρια ἀναιρῆται τὰ κατὰ τὰς ἐνεργείας, μήτε τὸ διημαρτημένον ὁμοίως βεβαιούμενον πάντα συνταράττῃ. ἀλλὰ μὴν καὶ τὸ ἀκούειν γίνεται ῥεύματός τινος φερομένου, ἀπὸ τοῦ φωνοῦντος, ἢ ἠχοῦντος, ἢ ψοφοῦντος, ἢ ὁπωσδήποτε ἀκουστικὸν πάθος παρασκευάζοντος. τὸ δὲ ῥεῦμα τοῦτο εἰς ὁμοιομερεῖς διασπείρεται, ἅμα τινὰ διασώζοντας συμπάθειαν πρὸς ἀλλήλους καὶ ἑνότητα ἰδιότροπον διατείνουσαν πρὸς τὸ ἀποστεῖλαν, καὶ τὴν ἐπαίσθησιν τὴν ἐπ' ἐκείνου ὡς τὰ πολλὰ ποιοῦσαν· εἰ δὲ μή γε, τὸ ἔξωθεν μόνον ἔνδηλον παρασκευάζουσαν· ἄνευ γὰρ ἀναφερομένης τινὸς ἐκεῖθεν συμπαθείας, οὐκ ἂν γένοιτο ἡ τοιαύτη ἐπαίσθησις. οὐκ αὐτὸν οὖν δεῖ νομίζειν τὸν ἀέρα ὑπὸ τῆς προϊεμένης φωνῆς, ἢ καὶ τῶν ὁμογενῶν σχηματίζεσθαι· πολλὴν γὰρ ἔνδειαν ἕξει τοῦτο πάσχων ὑπ' ἐκείνης· ἀλλ' εὐθὺς τὴν γινομένην πληγὴν ἐν ἡμῖν ὅταν φωνὴν ἀφιῶμεν, τοιούτων δέ τινων ὄγκων ῥεύματος πνευματώδους ἀποτελεστικὴν ποιεῖσθαι· ἢ τὸ πάθος τὸ ἀκουστικὸν ἡμῖν παρασκευάζειν· καὶ μὴν καὶ τὴν ὀσμὴν νομιστέον, ὥσπερ καὶ τὴν ἀκοὴν, οὐκ ἄν ποτε πάθος οὐθὲν ἐργάσασθαι, εἰ μὴ ὄγκοι τινὲς ἦσαν ἀπὸ τοῦ πράγματος ἀποφερόμενοι, σύμμετροι πρὸς τὸ τοῦτο τὸ αἰσθητήριον κινεῖν· οἱ μὲν τοῖοι, ταραχωδῶς καὶ ἀλλοτρίως· οἱ δὲ τοῖοι, ἀταράχως καὶ οἰκείως ἔχοντες· καὶ μὴν καὶ τὰς ἀτόμους νομιστέον, μηδεμίαν ποιότητα τῶν φαινομένων προσφέρεσθαι, πλὴν σχήματος καὶ βάρους καὶ μεγέθους, καὶ ὅσα ἐξ ἀνάγκης σχήματος συμφυῆ ἐστι· ποιότης γὰρ πᾶσα μεταβάλλει· αἱ δὲ ἄτομοι, οὐδὲν μεταβάλλουσιν· ἐπειδήπερ δεῖ τι ὑπομένειν ἐν ταῖς διαλύσεσι τῶν συγκρίσεων στερεὸν καὶ ἀδιάλυτον, ὃ τὰς μεταβολὰς οὐκ εἰς τὸ μὴ ὂν ποιήσεται, οὐδ' ἐκ τοῦ μὴ ὄντος, ἀλλὰ κατὰ μεταθέσεις ἐν πολλοῖς· τινῶν δὲ καὶ προσόδους καὶ ἀφόδους. ὅθεν ἀναγκαῖον τὰ μὴ μετατιθέμενα ἄφθαρτα εἶναι, καὶ τὴν τοῦ μεταβάλλοντος φύσιν οὐκ ἔχοντα, ὄγκους δὲ καὶ σχηματισμοὺς ἰδίους. τοῦτο γὰρ καὶ ἀναγκαῖον ὑπομένειν. καὶ γὰρ ἐν τοῖς παρ' ἡμῖν μετασχηματιζομένοις κατὰ τὴν περιαίρεσιν τὸ σχῆμα ἐνυπάρχον λαμβάνεται· αἱ δὲ ποιότητες οὐκ ἐνυπάρχουσαι ἐν τῷ μεταβάλλοντι, ὥσπερ ἐκεῖνο καταλείπεται, ἀλλ' ἐξ ὅλου τοῦ σώματος ἀπολλύμεναι. ἱκανὰ οὖν τὰ ὑπολειπόμενα ταῦτα τὰς τῶν συγκρίσεων διαφορὰς ποιεῖν· ἐπειδήπερ ὑπολείπεσθαί γέ τινα ἀναγκαῖον, καὶ εἰς τὸ μὴ ὂν φθείρεσθαι· ἀλλὰ μηδὲ δεῖ νομίζειν πᾶν μέγεθος

ἐν ταῖς ἀτόμοις ὑπάρχειν, ἵνα μὴ τὰ φαινόμενα ἀντιμαρτυρῇ· παραλλαγὰς δέ τινας μεγεθῶν νομιστέον εἶναι. βέλτιον γὰρ καὶ τούτου προσόντος κατὰ τὰ πάθη καὶ τὰς αἰσθήσεις γινόμενα, ἀποδοθήσεται. πᾶν δὲ μέγεθος ὑπάρχειν, οὔτε χρήσιμόν ἐστι πρὸς τὰς τῶν ποιοτήτων διαφοράς, ἀφῖχθαί τε ἔμελλε καὶ πρὸς ἡμᾶς ὁρατὰς ἀτόμους· ὃ οὐ θεωρεῖται γινόμενον. οὔθ' ὅπως ἂν γένοιτο ὁρατὴ ἄτομος ἔστιν ἐπινοῆσαι. πρὸς δὲ τούτοις οὐ δεῖ νομίζειν ἐν τῷ ὡρισμένῳ σώματι ἀπείρους ὄγκους εἶναι, οὐδ' ὁπηλικουσοῦν. ὥστε οὐ μόνον τὴν εἰς ἄπειρον τομὴν ἐπὶ τοὔλαττον ἀναιρετέον, ἵνα μὴ πάντα ἀσθενῆ ποιῶμεν, καὶ ταῖς περιλήψεσι τῶν ἀθρόων εἰς τὸ μὴ ὂν ἀναγκαζώμεθα τὰ ὄντα θλίβοντες καταναλίσκειν, ἀλλὰ καὶ τὴν μετάβασιν μὴ νομιστέον γίνεσθαι ἐν τοῖς ὡρισμένοις εἰς ἄπειρον, μηδ' ἐπὶ τοὔλαττον. οὔτε γὰρ ὅπως ἐπειδὰν ἅπαξ τις εἴπῃ ὅτι ἄπειροι ὄγκοι ἔν τινι ὑπάρχουσιν, ἢ ὁπηλικοιοῦν, ἔστι νοῆσαι πῶς τ' ἂν ἔτι πεπερασμένον τοῦτο εἴη τὸ μέγεθος. πηλίκοι γάρ τινες δῆλον ὡς ἄπειροί εἰσιν ὄγκοι. καὶ οὗτοι ἐξ ὧν ὁπηλίκοι ἂν ποτε ὦσιν, ἄπειρον ἂν ἦν καὶ τὸ μέγεθος, ἄκρον τε ἔχοντος τοῦ πεπερασμένου διαληπτοῦ, εἰ μὴ καὶ καθ' ἑαυτὸ θεωρητόν, οὐκ ἔστι μὴ οὐ καὶ τὸ ἑξῆς τούτου τοιοῦτον νοεῖν. καὶ οὕτω κατὰ τὸ ἑξῆς εἰς τὸ ἔμπροσθεν ὑπάρχειν κατὰ τὸ τοιοῦτον ἀφικνεῖσθαι τῇ ἐννοίᾳ. τό τ' ἐλάχιστον τὸ ἐν τῇ αἰσθήσει δεῖ κατανοεῖν, ὅτι οὔτε τοιοῦτόν ἐστιν οἷον τὸ τὰς μεταβάσεις ἔχον, οὔτε πάντῃ πάντως ἀνόμοιον, ἀλλ' ἔχον μέν τινα κοινότητα τῶν μεταβατῶν, διάληψιν δὲ μερῶν οὐκ ἔχον· ἀλλ' ὅταν διὰ τὴν τῆς κοινότητος προσεμφέρειαν οἰηθῶμεν διαλήψεσθαί τι αὐτοῦ, τὸ μὲν ἐπιτάδε, τὸ δὲ ἐπέκεινα, τὸ ἴσον ἡμῖν δεῖ προσπίπτειν. ἑξῆς τε θεωροῦμεν ταῦτα ἀπὸ τοῦ πρώτου καταρχόμενοι, καὶ οὐκ ἐν τῷ αὐτῷ, οὐδὲ μέρεσι μερῶν ἁπτόμενα, ἀλλ' ἐν τῇ ἰδιότητι τῇ ἑαυτῶν τὰ μεγέθη καταμετροῦντα, τὰ πλείω πλεῖον, καὶ τὰ ἐλάττω ἔλαττον. ταύτῃ τῇ ἀναλογίᾳ νομιστέον καὶ τὸ ἐν τῇ ἀτόμῳ ἐλάχιστον κεχρῆσθαι. μικρότητι γὰρ ἐκεῖνο δῆλον ὡς διαφέρει τοῦ κατὰ τὴν αἴσθησιν θεωρουμένου, ἀναλογίᾳ δὲ τῇ αὐτῇ κεχρῆσθαι. ἐπείπερ καὶ ὅτι μέγεθος ἔχει ἡ ἄτομος κατὰ τὴν ἐνταῦθα ἀναλογίαν κατηγορήσαμεν, μικρόν τι μόνον μακρὰν ἐκβαλόντες. ἔτι τε τὰ ἐλάχιστα καὶ ἀμιγῆ πέρατα δεῖ νομίζειν τῶν μηκῶν τὸ καταμέτρημα, ἐξ αὑτῶν πρώτων τοῖς μείζοσι καὶ ἐλάττοσι παρασκευάζοντα τῇ διὰ λόγου θεωρίᾳ ἐπὶ τῶν ἀοράτων. ἡ γὰρ κοινότης ἡ ὑπάρχουσα αὐτοῖς πρὸς τὰ ἀμετάβολα, ἱκανὴ τὸ μέχρι τούτου συντελέσαι.

συμφέρεσθαι δὲ ἐκ τούτου κίνησιν ἔχουσαν, οὐχ ὥστε τι ἡμῖν. καὶ
μὴν καὶ τοῦ ἀπείρου, ὡς μὲν ἀνωτάτω ἢ κατωτάτω, οὐ δεῖ κατηγο-
ρεῖν. τὸ ἄνω ἢ κάτω μέντοι τὸ ὑπὲρ κεφαλῆς. ὅθεν ἂν τι μὲν
εἰς ἄπειρον ἄγειν ὄν, μηδέποτε φανεῖσθαι τοῦτο ἡμῖν, ἢ τὸ ὑπο-
κάτω τοῦ νοηθέντος εἰς ἄπειρον ἅμα ἄνω τε εἶναι καὶ κάτω πρὸς τὸ
αὐτὸ· τοῦτο γὰρ ἀδύνατον διανοηθῆναι. ὥστε ἔστι μίαν λαβεῖν φο-
ρὰν τὴν ἄνω νοουμένην εἰς ἄπειρον, καὶ μίαν τὴν κάτω ἂν, καὶ μυ-
ριάκις πρὸς τοὺς πόδας τῶν ἐπάνω τι παρ' ἡμῶν φερόμενον τοὺς ὑπὲρ
κεφαλῆς ἡμῶν τόπους ἀφικνῆται, ἢ ἐπὶ τὴν κεφαλὴν τῶν ὑπο-
κάτω τὸ παρ' ἡμῶν κάτω φερόμενον· ἡ γὰρ ὅλη φορὰ, οὐθὲν ἧττον
ἑκατέρα ἀντικειμένη ἐπ' ἄπειρον νοεῖται. καὶ μὴν καὶ ἰσοταχεῖς
ἀναγκαῖον τὰς ἀτόμους εἶναι, ὅταν διὰ τοῦ κενοῦ εἰσφέρωνται, μηθε-
νὸς ἀντικόπτοντος. οὔτε γὰρ τὰ βαρέα θᾶττον οἰσθήσεται τῶν μι-
κρῶν καὶ κούφων, ὅταν γε δὴ μηδὲν ἀπαντᾷ αὐτοῖς, οὔτε τὰ μι-
κρὰ τῶν μεγάλων, πάντα πόρον σύμμετρον ἔχοντα, ὅταν μηθὲν
μηδὲ ἐκείνοις ἀντικόπτῃ, οὔθ' ἡ ἄνω, οὔθ' ἡ εἰς τὸ πλάγιον διὰ
τῶν κρούσεων φορὰ, οὔθ' ἡ κάτω τῶν ἰδίων βαρῶν. ἐφ' ὁπόσον γὰρ ἂν
κατίσχῃ ἑκάτερον, ἐπὶ τοσοῦτον ἅμα νοήματι τὴν φορὰν σχήσει,
ἕως ἀντικόψῃ ἢ ἔξωθεν, ἢ ἐκ τοῦ ἰδίου βάρους, πρὸς τὴν τοῦ πλή-
ξαντος δύναμιν. ἀλλὰ μὴν καὶ κατὰ τὰς συγκρίσεις, θάττων ἑτέ-
ρας ῥηθήσεται τῶν ἀτόμων, ἰσοταχῶν οὐσῶν τῷ ἐφ' ἕνα τόπον
φέρεσθαι τὰς ἐν τοῖς ἀθροίσμασιν ἀτόμους, καὶ κατὰ τὸν ἐλάχιστον συ-
νεχῆ χρόνον, εἰ μὴ ἐφ' ἕνα κατὰ τοὺς λόγῳ θεωρητοὺς χρόνους, ἀλ-
λὰ πυκνὸν ἀντικόπτουσιν ἕως ἂν ὑπὸ τὴν αἴσθησιν τὸ συνεχὲς
τῆς φορᾶς γίγνηται. τὸ γὰρ προσδοξαζόμενον περὶ τοῦ ἀοράτου, ὡς
ἄρα καὶ οἱ διὰ λόγου θεωρητοὶ χρόνοι τὸ συνεχὲς τῆς φορᾶς ἕξου-
σιν, οὐκ ἀληθές ἐστιν ἐπὶ τῶν τοιούτων, ἐπεὶ τό γε θεωρούμενον πᾶν,
ἢ κατ' ἐπιβολὴν λαμβανόμενον τῇ διανοίᾳ, ἀληθές ἐστι. μετὰ
δὲ ταῦτα δεῖ συνορᾶν ἀναφέροντα ἐπὶ τὰς αἰσθήσεις καὶ τὰ πάθη·
οὕτω γὰρ ἡ βεβαιοτάτη πίστις. ὅτι, ἐπεὶ ἡ ψυχὴ σῶμά ἐστι λεπτο-
μερὲς, παρ' ὅλον τὸ ἄθροισμα παρεσπαρμένον, προσεμφερέστατον
δὲ πνεύματι θερμοῦ τινα κρᾶσιν ἔχοντι, καὶ πῇ μὲν τούτῳ προσ-
εμφερὲς πῇ δὲ τούτῳ. ἔστι δὲ τὸ μέρος πολλὴν παραλλαγὴν
εἰληφὸς τῇ λεπτομερείᾳ καὶ αὐτῶν τούτων, συμπαθὲς δὲ τούτῳ μᾶλ-
λον καὶ τῷ λοιπῷ ἀθροίσματι. τοῦτο δ' αἱ δυνάμεις τῆς ψυ-
χῆς δηλοῦσι καὶ τὰ πάθη καὶ αἱ εὐκινησίαι, καὶ αἱ διανοήσεις, καὶ ὧν
στερόμενοι θνήσκομεν. καὶ μὴν καὶ ὅτι ἔχει ἡ ψυχὴ τῆς αἰσθήσεως
τὴν πλείστην αἰτίαν, δεῖ κατέχειν. οὐ μὴν εἰλήφει ἂν ταύτην,

τὸ μὴ ὑπὸ τοῦ λοιποῦ ἀθροίσματος ἐστεγάζετό πως. τὸ δὲ λοιπὸν ἄθροισμα παρασκευάσαν ἐκείνῃ τὴν αἰτίαν ταύτην, μετείληφε καὶ αὐτὸ τοιούτου συμπτώματος παρ' ἐκείνης· οὐ μέντοι πάντων ὧν ἐκείνη κέκτηται. διὸ ἀπαλλαγείσης τῆς ψυχῆς, οὐκ ἔχει τὴν αἴσθησιν. οὐ γὰρ αὐτὸ ἐν ἑαυτῷ ταύτην ἐκέκτητο τὴν δύναμιν, ἀλλ' ἑτέρῳ ἅμα συγγεγενημένῳ αὐτῷ παρεσκεύαζε, ὃ διὰ τῆς συντελεσθείσης περὶ αὐτὸ δυνάμεως, κατὰ τὴν κίνησιν σύμπτωμα αἰσθητικὸν εὐθὺς ἀποτελοῦν ἑαυτῷ, ἀπεδίδου κατὰ τὴν ὁμούρησιν καὶ συμπάθειαν, καὶ ἐκείνῳ καθάπερ εἶπον. διὸ δὴ καὶ ἐνυπάρχουσα ἡ ψυχὴ οὐδέποτε ἄλλου τινὸς μέρους ἀπηλλαγμένου ἀναισθητεῖ· ἀλλ' ἃ ἂν καὶ ταύτης ξυναπόληται, τοῦ στεγάζοντος λυθέντος, εἴθ' ὅλου, εἴτε καὶ μέρους τινός, ἐάν περ διαμένῃ ἕξει τὴν αἴσθησιν, ἀπηλλαγμένου ὅσον ποτὲ ἐστὶ τοῦ συντείνοντος τῶν ἀτόμων πλήθους εἰς τὴν τῆς ψυχῆς φύσιν. καὶ μὴν καὶ λυομένου τοῦ ὅλου ἀθροίσματος, ἡ ψυχὴ διασπείρεται καὶ οὐκέτι ἔχει τὰς αὐτὰς δυνάμεις, οὐδὲ κινεῖται, ὥστ' οὐδ' αἴσθησιν κέκτηται. οὐ γὰρ οἷόν τε νοεῖν αὐτὸ αἰσθανόμενον, μὴ ἐν τούτῳ τῷ συστήματι, καὶ ταῖς κινήσεσι ταύταις χρώμενον, ὅταν τὰ στεγάζοντα καὶ περιέχοντα μὴ τοιαῦτα ᾖ, ἐν οἷς νῦν οὖσα ἔχει ταύτας τὰς κινήσεις. ἀλλὰ μὴν καὶ τόδε ἐννοεῖν ἐν ἄλλοις, καὶ ἐξ ἀτόμων αὐτὴν συγκεῖσθαι λειοτάτων καὶ στρογγυλωτάτων, πολλῷ τινι διαφερουσῶν τῶν τοῦ πυρός. καὶ τὸ μέν τι ἄλογον αὐτῆς ὃ τῷ λοιπῷ παρεσπάρθαι σώματι· τὸ δὲ λογικὸν ἐν τῷ θώρακι, ὡς δῆλον ἔκ τε τῶν φόβων καὶ τῆς χαρᾶς. ὕπνον τε γίνεσθαι τῶν τῆς ψυχῆς μερῶν τῶν παρ' ὅλην τὴν σύγκρισιν παρεσπαρμένων ἐγκατεχομένων, ἢ διαφορουμένων, εἶτα συμπιπτόντων τοῖς ἐπερεισμοῖς. τό, τε σπέρμα ἀφ' ὅλων τῶν σωμάτων φέρεσθαι γ' ἂν ἀέρος κατανοεῖν· λέγω δὲ κατὰ τὴν πλείστην ὁμιλίαν τοῦ ὀνόματος, ἐπὶ τοῦ καθ' ἑαυτὸ νοηθέντος ἄν. καθ' ἑαυτὸ δὲ οὐκ ἔστι νοῆσαι τὸ ἀσώματον, πλὴν τοῦ κενοῦ. τὸ δὲ κενὸν οὔτε ποιῆσαι, οὔτε παθεῖν δύναται, ἀλλὰ κίνησιν μόνον δι' ἑαυτοῦ τοῖς σώμασι παρέχεται, ὥσθ' οἱ λέγοντες ἀσώματον εἶναι τὴν ψυχήν, ματαιάζουσιν. οὐθὲν γὰρ ἂν ἐδύνατο ποιεῖν, οὔτε πάσχειν, εἰ ἦν τοιαύτη. νῦν δ' ἐναργῶς ἀμφότερα ταῦτα διαλαμβάνεται περὶ τὴν ψυχὴν τὰ συμπτώματα. ταῦτ' οὖν πάντα τὰ διαλογίσματα ἀνάγων τις ἐπὶ τὰ πάθη καὶ τὰς αἰσθήσεις, μνημονεύων τῶν ἐν ἀρχῇ ῥηθέντων, ἱκανῶς κατόψεται τοῖς τύποις ἐμπεριειλημμένα εἰς τὸ κατὰ μέρος ἀπὸ τούτων ἐξακριβοῦσθαι βεβαίως. ἀλλὰ μὴν καὶ τὰ σχήματα καὶ τὰ χρώματα καὶ τὰ μεγέθη καὶ τὰ

βά-

βαρύ, ϗ ὅσα ἄλλα κατηγορεῖται σώματος, ὡς ἂν εἰς κατὰ συμβεβηκότα, ἢ πᾶσιν, ἢ τοῖς ὁρατοῖς, ϗ κατὰ τὴν αἴσθησιν αὐτοῖς γνωστοῖς, οὔθ' ὡς καθ' ἑαυτάς εἰσι φύσεις, δοξαστέον· οὐ γὰρ δυνατὸν ἐπινοῆσαι τοῦτο, οὔτε ὅλως ὡς οὐκ εἰσίν, οὔθ' ὡς ἕτερα τὰ προσυπάρχοντα τούτῳ ἀσώματα, οὔθ' ὡς μόρια τούτου, ἀλλ' ὡς τὸ ὅλον σῶμα, καθ' ὅλον μὲν ἐκ τούτων πάντων τὴν ἑαυτοῦ φύσιν ἔχον ἀΐδιον, οὐχ οἷόν τ' εἶναι συμπεφορημένον. ὥσπερ ὅταν ἐξ αὐτῶν τῶν ὄγκων μεῖζον ἄθροισμα συστῇ, ἤτοι τῶν πρώτων, ἢ τῶν τοῦ ὅλου μεγεθῶν, τοῦ δὲ τινὸς ἐλαττόνων. ἀλλὰ μόνον ὡς λέγω ἐκ τούτων ἁπάντων τὴν ἑαυτοῦ φύσιν ἔχον ἀΐδιον, ϗ ἐπιβολὰς μὲν ἔχοντα ἰδίας πάντα ταῦτά ἐστι ϗ διαλήψεις· συμπαρακολουθοῦντος δὲ τοῦ ἀθρόου ϗ οὐδαμῇ ἀποσχιζομένου, ἀλλὰ κατὰ τὴν ἀθρόαν ἔννοιαν τοῦ σώματος κατηγορίαν εἰληφότος. ϗ μὴν ϗ τοῖς σώμασι συμπίπτει πολλάκις ϗ οὐκ ἀΐδιον παρακολουθεῖν, οὔτ' ἐν τοῖς ἀοράτοις, ϗ ἐπὶ ἀσωμάτοις. ὥστε δὴ κατὰ πλείστην φοράν, τούτῳ τῷ ὀνόματι χρώμενοι, φανερὰ ποιοῦμεν τὰ συμπτώματα· ὡς τὴν τοῦ ὅλου φύσιν ἔχει, ὃ συλλαβόντες κατὰ τὸ ἄθροον, σῶμα προσαγορεύομεν, οὔτε τὴν τῶν ἀιδίως παρακολουθούντων, ὧν ἄνευ, σῶμα οὐ δυνατὸν νοεῖσθαι. κατ' ἐπιβολὰς δ' ἄν τινας, παρακολουθοῦντος τοῦ ἀθρόου ἕκαστα προσαγορευθείη. ἀλλ' ὅτι δή ποτε ἕκαστα συμβαίνοντα θεωρεῖται, οὐκ ἀιδίων τῶν συμπτωμάτων παρακολουθούντων. ϗ οὐκ ἐξελατέον ἐκ τοῦ ὄντος ταύτην τὴν ἐνάργειαν, ὅτι οὐκ ἔχει τὴν τοῦ ὅλου φύσιν ᾧ συμβαίνει, ὃ δὴ ϗ σῶμα προσαγορεύομεν, οὐδὲ τὴν τῶν ἀιδίων παρακολουθούντων, οὐδ' αὖ καθ' αὑτὰ νομιστέον. οὐδὲ γὰρ τοῦτο διανοητόν, οὔτ' ἐπὶ τῶν ἀιδίων συμβεβηκότων. ἀλλ' ὅπερ ϗ φαίνεται, συμπτώματα πάντα τὰ σώματα νομιστέον, ϗ οὐκ ἀΐδιον παρακολουθοῦντα. οὐδ' αὖ φύσεως καθ' ἑαυτὰ τάγμα ἔχοντα. ἀλλ' ὃν τρόπον αὐτὴ ἡ αἴσθησις τὴν ἰδιότητα ποιεῖ θεωρεῖται. ϗ μὴν ϗ τόδε γε δεῖ προσκατανοῆσαι σφοδρῶς· τὸν γὰρ δὴ χρόνον, οὐ ζητητέον ὥσπερ ϗ τὰ λοιπὰ ὅσα ἐν ὑποκειμένῳ ζητοῦμεν, ἀνάγοντες ἐπὶ τὰς βλεπομένας παρ' ἡμῖν αὐτοῖς προλήψεις, ἀλλ' αὐτὸ τὸ ἐνάργημα καθ' ὃ τὸν πολὺν, ἢ ὀλίγον χρόνον, ἀναφωνοῦμεν συγγενικῶς τοῦτο περιφέροντες, ἀναλογιστέον. ϗ οὔτε διαλέκτους ὡς βελτίους μεταληπτέον· ἀλλ' αὐταῖς ταῖς ὑπαρχούσαις κατ' αὐτοῦ χρηστέον. οὔτε ἄλλο τι κατ' αὐτοῦ κατηγορητέον, ὡς τὴν αὐτὴν οὐσίαν ἔχοντος τῷ ἰδιώματι τούτῳ· ϗ γὰρ τοῦτο ποιοῦσί τινες· ἀλλὰ μόνον ᾧ συμπλέκομεν τὸ ἴδιον τοῦτο ϗ παραμετροῦμεν, μάλιστα ἐπιλογιστέον· ϗ

γὰρ τοῦτο ἀποδείξεως προσδεῖται, ἀλλ' ἐπιλογισμοῦ· ὅτι ταῖς ἡμέραις καὶ ταῖς νυξὶ συμπλέκομεν καὶ τοῖς τούτων μέρεσιν· ὡσαύτως δὲ καὶ τοῖς πάθεσι καὶ ταῖς ἀπαθείαις, καὶ κινήσεσι, καὶ στάσεσιν, ἴδιόν τι σύμπτωμα περὶ ταῦτα πάλιν αὐτὸ τοῦτο ἐννοοῦντες καθ' ὃ χρόνον ὀνομάζομεν. ἐπί τε τοῖς προειρημένοις, τοὺς κόσμους δεῖ καὶ πᾶσαν σύγκρισιν πεπερασμένην, τὸ ὁμοειδὲς τοῖς θεωρουμένοις πυκνῶς ἔχουσαν, νομίζειν γεγονέναι ἀπὸ τοῦ ἀπείρου, πάντων τούτων ἐκ συστροφῶν ἰδίων ἀποκεκριμένων, καὶ μειζόνων καὶ ἐλαττόνων, καὶ πάλιν διαλύεσθαι πάντα, τὰ μὲν θᾶττον, τὰ δὲ βραδύτερον· καὶ τὰ μὲν ὑπὸ τῶν τοιῶνδε, τὰ δὲ ὑπὸ τῶν τοιῶνδε τοῦτο πάσχοντα. δῆλον οὖν ὡς καὶ φθαρτούς φησι τοὺς κόσμους, μεταβαλλόντων τῶν μερῶν, καὶ ἡ γῆ τῷ ἀέρι ἐποχεῖται. ἔτι δὲ καὶ τοὺς κόσμους οὔτε ἐξ ἀνάγκης δεῖ νομίζειν ἕνα σχηματισμὸν ἔχειν, ἀλλὰ καὶ διαφόρους αὐτούς· οὓς μὲν σφαιροειδεῖς, οὓς δὲ ᾠοειδεῖς, καὶ ἀλλοιοσχήμονας ἑτέρους· οὐ μέντοι πᾶν σχῆμα ἔχειν. οὐδὲ ζῷα εἶναι ἀποκριθέντα ἀπὸ τοῦ ἀπείρου. οὐδὲ γὰρ ἂν ἀποδείξειεν οὐδεὶς, ὡς ἐν μὲν τῷ τοιούτῳ καὶ οὐκ ἂν ἐμπεριελήφθη τὰ τοιαῦτα σπέρματα, ἐξ ὧν ζῷά τε καὶ φυτὰ καὶ τὰ λοιπὰ πάντα θεωρούμενα συνίσταται, ἐν δὲ τῷ τοιούτῳ οὐκ ἂν ἐδυνήθη. ὡσαύτως δὲ καὶ ἐντραφῆναι, τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ γῆς νομιστέον. ἀλλὰ μὴν ὑποληπτέον καὶ τὴν φύσιν πολλὰ καὶ παντοῖα ὑπὸ τῶν αὐτῶν τῶν πραγμάτων διδαχθῆναί τε καὶ ἀναγκασθῆναι· τὸν δὲ λογισμὸν τὰ ὑπὸ ταύτης παρεγγυηθέντα, καὶ ὕστερον ἐπακριβοῦν καὶ προσεξευρίσκειν· ἐν μέν τισι θᾶττον, ἐν δὲ τισι βραδύτερον· καὶ ἐν μέν τισι περιόδοις καὶ χρόνοις ἀπὸ τῶν ἀπὸ τοῦ ἀπείρου, ἐν δέ τισι κατ' ἐλάττους. ὅθεν καὶ τὰ ὀνόματα ἐξ ἀρχῆς μὴ θέσει γενέσθαι, ἀλλ' αὐτὰς τὰς φύσεις τῶν ἀνθρώπων καθ' ἕκαστα ἔθνη ἴδια πασχούσας πάθη, καὶ ἴδια λαμβανούσας φαντάσματα, ἰδίως τὸν ἀέρα ἐκπέμπειν, στελλόμενον ὑφ' ἑκάστων τῶν παθῶν καὶ τῶν φαντασμάτων, ὡς ἄν ποτε καὶ ἡ παρὰ τοὺς τόπους τῶν ἐθνῶν διαφορὰ ᾖ· ὕστερον δὲ κοινῶς καθ' ἕκαστα ἔθνη τὰ ἴδια τεθῆναι, πρὸς τὸ τὰς δηλώσεις ἧττον ἀμφιβόλους γενέσθαι ἀλλήλοις, καὶ συντομωτέρως δηλουμένας· τινὰ δὲ καὶ οὐ συνορώμενα πράγματα εἰσφέροντας τοὺς συνειδότας παρεγγυῆσαί τινας φθόγγους, τοὺς ἀναγκασθέντας ἀναφωνῆσαι· τοὺς δὲ τῷ λογισμῷ ἑλομένους κατὰ τὴν πλείστην αἰτίαν, οὕτως ἑρμηνεῦσαι. καὶ μὴν ἐν τοῖς μετεώροις φορὰν καὶ τροπὴν, καὶ ἔκλειψιν, καὶ ἀνατολὴν, καὶ δύσιν, καὶ τὰ σύστοιχα τούτοις, μήτε λειτουργοῦντός τινος νομίζειν δεῖ γενέσθαι,

καὶ

καὶ διατάττοντος, ἢ διατάξαντος, καὶ ἅμα τὴν πᾶσαν μακαριότητα ἔχοντος, μετὰ ἀφθαρσίας. οὐ γὰρ συμφωνοῦσι πραγματεῖαι καὶ φροντίδες καὶ ὀργαὶ καὶ χάριτες μακαριότητι, ἀλλ' ἀσθενείᾳ καὶ φόβῳ καὶ προσδεήσει τῶν πλησίον ταῦτα γίνεται. μήτε αὖ πῦρ ἅμα ὄντα συνεστραμμένον τὴν μακαριότητα κεκτημένα, κατὰ βούλησιν τὰς κινήσεις ταύτας λαμβάνειν, ἀλλὰ πᾶν τὸ σέμνωμα τηρεῖν κατὰ πάντα ὀνόματα φερόμενα ἐπὶ τὰς τοιαύτας ἐννοίας, ἵνα μηδ' ὑπεναντίαι ἐξ αὐτῶν τῷ σεμνώματι δόξαι. εἰ δὲ μὴ τὸν μέγιστον τάραχον, ἐν ταῖς ψυχαῖς αὐτὴ ὑπεναντιότης παρασκευάσει. ὅθεν δὴ κατὰ τὰς ἐξ ἀρχῆς ἐναπολήψεις τῶν συστροφῶν τούτων ἐν τῇ τοῦ κόσμου γενέσει δεῖ δοξάζειν καὶ τὴν ἀνάγκην ταύτην καὶ περίοδον συντελεῖσθαι. καὶ μὴν καὶ τὴν ὑπὲρ τῶν κυριωτάτων αἰτίαν ἐξακριβῶσαι, φυσιολογίας ἔργον εἶναι δεῖ νομίζειν, καὶ τὸ μακάριον ἐν τῇ περὶ τῶν μετεώρων γνώσει, ἐνταῦθα πεπτωκέναι· καὶ ἐν τῷ τίνες φύσεις αἱ θεωρούμεναι κατὰ τὰ μετέωρα ταυτὶ, καὶ ὅσα συγγενῆ πρὸς τὴν εἰς τοῦτο ἀκρίβειαν. ἔτι τε οὐ τὸ πλεοναχῶς ἐν τοῖς τοιούτοις εἶναι, καὶ τὸ ἐνδεχόμενον, καὶ ἄλλως πως ἔχειν· ἀλλ' ἁπλῶς μὴ εἶναι ἐν ἀφθάρτῳ καὶ μακαρίᾳ φύσει τῶν διάκρισιν ὑποβαλλόντων, ἢ τάραχον μηθέν. καὶ τοῦτο καταλαβεῖν τῇ διανοίᾳ ἔστιν ἁπλῶς εἶναι. τὸ δ' ἐν τῇ ἱστορίᾳ πεπτωκὸς τῆς δύσεως καὶ ἀνατολῆς, καὶ τροπῆς καὶ ἐκλείψεως, καὶ ὅσα συγγενῆ τούτοις, μηθὲν ἔτι πρὸς τὸ μακάριον τῆς γνώσεως συντείνειν. ἀλλ' ὁμοίως τοὺς φόβους ἔχειν τοὺς ταῦτα κατιδόντας, τίνες δὲ αἱ φύσεις ἀγνοοῦντας, καὶ τίνες αἱ κυριώταται αἰτίαι, καὶ εἰ μὴ προσῄδεισαν ταῦτα· τάχα δὲ καὶ πλείους, ὅταν τὸ θάμβος ἐκ τῆς τούτων προσκατανοήσεως, μὴ δύνηται τὴν λύσιν λαμβάνειν, κατὰ τὴν περὶ τῶν κυριωτάτων οἰκονομίαν. διὸ δὴ καὶ πλείους αἰτίας εὑρίσκομεν τροπῶν, καὶ δύσεως, καὶ ἀνατολῶν, καὶ ἐκλείψεων, καὶ τῶν τοιουτοτρόπων, ὥσπερ καὶ ἐν τοῖς κατὰ μέρος γινομένοις, οὐ δεῖ νομίζειν τὴν ὑπὲρ τούτων χρείαν, ἀκρίβειαν μὴ ἀπειληφέναι, ὅση πρὸς τὸ ἀτάραχον καὶ μακάριον ἡμῶν συντείνει. ὥστε παραθεωροῦντας ποσαχῶς παρ' ἡμῖν τὸ ὅμοιον γίνεται, αἰτιολογητέον ὑπέρ τε τῶν μετεώρων καὶ παντὸς τοῦ ἀδήλου καταφρονοῦντας, τῶν τὸ μοναχῶς ἔχον, ἢ γινόμενον γνωριζόντων, ἔτι τε πλεοναχῶς συμβαῖνον τὴν ἀπὸ τῶν ἀποστημάτων φαντασίαν παραδιδόντων, ἔτι τε ἀγνοούντων, καὶ ἐν ποίοις οὐκ ἔστιν ἀταρακτῆσαι. εἰ οὖν οἰόμεθα καὶ ὡδὶ πως ἐνδέχεσθαι αὐτὸ γίνεσθαι, καὶ τὸ ὅτι ὁμοίως ἀταρακτήσομεν αὐτὸ τὸ ὅτι πλεοναχῶς γίνεται γνωρίζοντες, ὥσ-

ὥσπερ καὶ ὅτι ἀΐδιος γίνεται ὁ θάνατος, ἀπαρακτήτως. ἐπὶ δὲ τούτοις ἅπασιν ἐκεῖνο δεῖ κατανοεῖν, ὅτι τάραχος ὁ κυριώτατος ταῖς ἀνθρωπίναις ψυχαῖς γίνεται ἐν τῷ ταῦτα μακάριά τε δοξάζειν καὶ ἄφθαρτα, καὶ ὑπεναντίας ἔχειν τούτοις βουλήσεις ἅμα καὶ πράξεις, καὶ αἰτίας, καὶ ἐν τῷ αἰώνιόν τι δεινὸν ἢ προσδοκᾶν ἢ ὑποπτεύειν κατὰ τοὺς μύθους. εἴτε καὶ ταύτην τὴν ἀναισθησίαν τὴν ἐν τῷ τεθνάναι φοβουμένους, ὥσπερ οὖσαν κατ' αὐτούς, καὶ ἐν τῷ μὴ δόξαις ταῦτα πάσχειν, ἀλλ' ἀλόγῳ γέ τινι παραστάσει· ὅθεν μὴ ὁρίζοντας τὸ δεινὸν τὴν ἴσην ἢ καὶ ἐπιτεταμένην ταραχὴν λαμβάνειν τῷ εἰ καὶ ἐδόξαζε ταῦτα. ἡ δὲ ἀταραξία, τὸ τούτων ἀπολελύσθαι, καὶ συνεχῆ μνήμην ἔχειν τῶν ὅλων καὶ κυριωτάτων. ὅθεν τοῖς πάθεσι προσεκτέον τοῖς παροῦσι κατὰ μὲν τὸ κοινὸν τοῖς κοινοῖς, κατὰ δέ τι ἴδιον, τοῖς ἰδίοις, καὶ πάσῃ τῇ παρούσῃ καθ' ἕκαστον τῶν κριτηρίων ἐναργείᾳ. ἂν γὰρ τούτοις προσέχωμεν, τὸ ὅθεν ὁ τάραχος καὶ ὁ φόβος ἐγίνετο, ἐξαιτιολογήσομεν ὀρθῶς καὶ ἀπολύσομεν, ὑπέρ τε μετεώρων αἰτιολογοῦντες, καὶ τῶν λοιπῶν τῶν ἀεὶ παρεμπιπτόντων, καὶ ὅσα φοβεῖ τοὺς λοιποὺς ἐσχάτως. ταῦτά σοι, ὦ Ἡρόδοτε, ἔστι κεφαλαιωδέστατα ὑπὲρ τῆς τῶν ὅλων φύσεως ἐπιτετμημένα, ὥστ' ἂν γένοιτο οὗτος ὁ λόγος δυνατὸς, κατασχεθεὶς μετ' ἀκριβείας, οἶμαι, ἐὰν μὴ καὶ πρὸς ἅπαντα βαδίσῃ τις τῶν κατὰ μέρος ἀκριβωμάτων, ἀσύγκριτον αὐτὸν πρὸς τοὺς λοιποὺς ἀνθρώπους ἁδρότητα λήψεσθαι. καὶ γὰρ καὶ καθαρὰ ἀφ' ἑαυτοῦ ποιήσει πολλὰ τῶν κατὰ μέρος ἐξακριβουμένων κατὰ τὴν ὅλην πραγματείαν ἡμῖν, καὶ αὐτὰ ταῦτα ἐν μνήματι θέμενος συνεχῶς βοηθήσει. τοιαῦτα γάρ ἐστιν, ὥστε καὶ τοὺς κατὰ μέρος ἤδη ἐξακριβοῦντας ἱκανῶς, ἢ καὶ τελείως εἰς τὰς τοιαύτας ἀναλύοντας ἐπιβολὰς, τὰς πλείστας τῶν περιόδων ὑπὲρ τῆς ὅλης φύσεως ποιεῖσθαι. ὅσα δὲ μὴ παντελῶς αὐτῶν τῶν ἀποτελουμένων ἐν τούτοις εἰσὶν, ἐκ καὶ κατὰ τὸν ἄνευ φθόγγων τρόπον τὴν ἅμα νοήματι περίοδον τῶν κυριωτάτων, πρὸς γαληνισμὸν ποιοῦνται.

Καὶ αὗται μὲν αἱ αὐτοῦ ἐπιστολαί· ἄλλα δὲ τῶν βιβλίων αὐτοῦ, τοσαῦτα τί χρὴ ἡμᾶς ἐκφεύγειν, ἢ δ' αἱρεῖσθαι, ὅτι τι λέξομεν. τὰ μὲν δεῖ τι ἄλλο καὶ βλάσφημον αὐτὸ, τὸ δὲ ἐπὶ δὲ τὴν ἄκαιρον ἀδολεσχίαν. γέγονε δὲ πολυγραφώτατος Ἐπίκουρος, πάντας ὑπερβαλλόμενος πλήθει βιβλίων· καὶ γὰρ ὑπὲρ τοὺς τριακοσίους τόμους λέγεται γεγραφέναι. ἔσχε δὲ καὶ μαθητὰς πολλοὺς καὶ σφόδρα ἐλλογίμους, καὶ μάλιστα Μητρόδωρον τὸν Ἀθηναῖον, καὶ Τιμοκράτην, καὶ Σάνδην τὸν Λαμψακηνὸν, ὅς ἐκ

ἀπ-

ἀνέστη ἀπ' αὐτῆ ἀφ' ἧ τὸν ἄνδρα ἔχειν ἕως τῆς αὐτῆ πλάνης. κατέγραψε δὲ τὰ βίβλια ἔτη ζήσας δύο πρὸς τοῖς ἑβδομήκοντα. καὶ τὸ σχολεῖον αὐτῆ διεδέξατο Ἕρμαρχος ὁ Μιτυληναῖος.

ΠΕΡΙ ΕΡΜΑΓΟΡΟΥ.

Ἑρμαγόρας Ἀμφιπολίτης φιλόσοφος μαθητὴς Περσαίου. γέγραπται αὐτῷ διάλογοι, Μισοκύων, ἢ περὶ ἀτυχημάτων· περὶ σοφιστείας, πρὸς τοὺς Ἀκαδημαϊκοὺς ἄκμασε, ἔτι δ' ὠνομασία.

ΠΕΡΙ ΕΠΙΧΑΡΜΟΥ

Ἐπίχαρμος Κῷος φιλόσοφος ὅστις ἤκουσε Πυθαγόρου· φέρεται αὐτῷ συγγράμματα φυσικά, γνωμολογικά, καὶ πολλὰ ἰατρικά. ζήσας δὲ ἔτη ἐνενήκοντα, τὸν βίον κατέστρεψεν.

ΠΕΡΙ ΕΠΑΜΙΝΩΝΔΟΥ

Ἐπαμινώνδας, τὸ γένος ἦν Θηβαῖος· φιλόσοφος καὶ στρατηγὸς μέγιστος· στρατηγήσας ἐν τῷ Λευκτρικῷ πολέμῳ, μαθητὴς γενόμενος Φιλολάου τοῦ Πυθαγορείου ὤν, πολεμικῇ ἐπικρατέστατος πάσῃ καὶ ἀπὸ θρυλούμενος, καὶ ἀφρόντιστος, καὶ πάσης εὐπαιδείας. καὶ μεγάλα κατὰ Λακεδαιμονίων ἔστησε τρόπαια. συγκρίνεται δὲ τούτῳ Σκιπίων ὁ Ῥωμαίων στρατηγός, ὅμοιος κατὰ τὴν δίαιταν καὶ τὸ ἦθος. ἐξέστησε δὲ καὶ αὐτὸς ἐν τῷ περὶ Καρχηδόνα πολέμῳ. ὅ, ἐν τῆς ἀκτῆς τῷ ἴδιος ἣ ἐπωνυμίαν ἔλαβε, καὶ ἐκλήθη Σκιπίων Ἀφρικανὸς καὶ γὰρ οἱ Καρχηδόνιοι, Ἀφρικανοί.

ΠΕΡΙ ΕΡΜΕΙΟΥ

Ἑρμείας φιλόσοφος Ἀταρνεύς, (χώρα Μυσίας τῆς πρὸς τῷ Ἑλλησπόντῳ) ἐπιτήδειος μαθητὴς παρ' Ἀριστοτέλους ἔγραψε δαιμονικῶς περὶ ψυχῆς ὅτι ἀθάνατος.

ΠΕΡΙ ΕΥΔΟΞΟΥ

Εὔδοξος Αἰσχίνου, Κνίδιος φιλόσοφος, ἀκουστὴς Πλάτωνος καὶ ἀστρολόγος, ὥς φησι Σωτίων· ὡς δὲ Καλλίμαχος ἐν τοῖς πίναξι, Ἀρχύτα καὶ Φιλιστίωνος. ἔγραψε περὶ θεῶν, καὶ κόσμου, καὶ τῶν μετεωρολογουμένων. ἔσχε δὲ καὶ πρὸς ἰατρικὴν θαυμασίαν, καὶ πρὸς γεωμετρίαν καὶ ἀστρονομικὴν ἐπιστήμην. ἔγραψε τι πλεῖστα τῶν εἰδῶς τούτου καὶ ὀκταετηρίδα. ὅτι δὲ δι' αὐτῶν ἀστρονομίας.

ἐγένοντο δὲ αὐτῇ καὶ θυγατέρες τρεῖς, Ἀκτὶς, Φιλτὶς, Δαφνὶς, τὰ κατὰ σχεδὸν παρόμοια.

Z

ΠΕΡΙ ΖΑΜΟΛΞΙΔΟΣ

Ζάμολξις, Γετικὸς γένος· οὗτος τοῦ Πυθαγόρου ἦν μεμαθηκὼς, καὶ αὐτὸς οὕτω κατεσκευασμένος· οὗτος πρὸς δὲ παιδεῦσαι τοὺς Γέτας ἐπανελθὼν, καὶ τοὺς Αἰγυπτίους πολλὰ προσθεὶς, ἐθαυμάσθη, καὶ πείσας τὸ νομοθετῶν ὡς καὶ θανόντα τοὺς θεοὺς ἐπιμεθεῖσι, καὶ ὡς θεὸν ἤδη σέβονται. τοῦτον Ἡρόδοτος λέγει Πυθαγόρου δοῦλον γενέσθαι, εἶτα ἐλευθερωθέντα καὶ πλουτήσαντα, ἀπελθόντα καὶ συμπροστῆναι μαθόντα δίαιταν καὶ Ἑλληνικὴν, ὅθεν πρώτους τῶν ἀστῶν συνάγειν καὶ εὐωχεῖν, λέγοντα ὡς οὔτε αὐτὸς, οὔτε οἱ συμπόται τεθνήξονται· ὁ δὲ Ἑλλανίκος ἐν τῇ τῶν ἐθνῶν λόγων χρόνων, ὅτι τε τῶν Γετῶν ἴδιον τῶν τελετῶν μεγιστεύοντος, ὅτι τε τὴν ἐνδήμιαν, καὶ διὰ τοῦ Ζάμολξιν ἐν τιμῇ· οὐ γὰρ ἀποθνήσκειν, ἀλλὰ μεταλλάξειν νομίζοντες, ἐπιμείναντες θνήσκουσιν, ἢ τὰς ἀποδημίας ἀποδημοῦντες· ἔστι δὲ καὶ νόμος Γετικὸς, ἐπισφάζεσθαι τὴν γυναῖκα τοῦ ἀνδρὸς θανόντος, καὶ πενθεῖσθαι ὅπου συνταφεῖσαν. Ἡρόδοτος δὲ καὶ τοξεύειν φησὶν αὐτοὺς ἄνω πρὸς τὴν βροντὴν, καὶ τὴν ἀστραπὴν, ἀπειλοῦντας τῷ θεῷ.

ΠΕΡΙ ΖΕΥΞΙΠΠΗΣ

Ζεύξιππη, κατὰ μὲν Ἀλκμαίωνα, ἡ μήτηρ τοῦ Πριάμου καλεῖται· κατὰ δὲ Ἑλλάνικον, Τρωιώ· Στράτης δὲ ἐν τῷ περὶ Διτύλων φησὶ, Θοόσαν τὴν Τεύκρου, τὴν Πριάμου, ὡς φησι Πορφύριος.

ΠΕΡΙ ΤΟΥ ΔΙΟΣ

Ζεὺς οὐ μόνον ὁ καθ' ἱστορίαν Κρητικὸς βασιλεὺς, ἀλλὰ μόνον ὁ κατὰ μῦθον πατὴρ ἀνδρῶν τε θεῶν τε, ἀλλὰ καὶ ὁ κατὰ ἀναγωγὴν ἀὴρ καὶ αἰθὴρ, καὶ ὁ οὐρανὸς, καὶ ἡ ψυχὴ τοῦ παντός. καὶ καθ' ἱστορίαν μὲν λέγεται ὅτι Ζεὺς, βασιλεὺς τῆς Κρήτης, νομοθέτης Κρητῶν καὶ ἄλλων Ἑλλήνων. οὗτος ἁρπάσας Εὐρώπην

ἐκ Φοινίκης τὴν θυγατέρα Ἀγήνορος, ὡς Κρήτην ἤγαγεν· ἐξ ἧς ἔσχε παῖδας τοὺς τρεῖς, Μίνω, Ῥαδάμανθυν, Αἰακὸν καὶ Σαρπηδόνα. κατὰ δὲ μῦθον, ἐκ Κρόνου λέγουσι γεννηθῆναι αὐτὸν οἱ θεολόγοι τῶν Ἑλλήνων, καὶ γεννηθέντα παρασωθῆναι τοιῶσδε· ὁ Κρόνος τῇ Ῥέᾳ γαμηθεὶς συνοικῶν, ὅπερ ἔτικτεν αὐτῷ παιδίον, αὐτὸς λαμβάνων κατέπινε. καὶ τοῦτο ἐπὶ πολλῶν τούτων γενομένων, ἄπαις ἔμενεν ἡ Ῥέα. ὅτε δὲ ἐγέννησε τὸν Δία, ἡ Ῥέα φοβηθεῖσα μὴ καὶ τὸ βρέφος τοῦτο καταπιὼν ἀπόληται, λίθον μὲν σπαργανώσασα δέδωκε τῷ Κρόνῳ ὡς βρέφος καταπιεῖν. τὸν δὲ Δία ὑπεξέθετο ἐν τῇ Κρήτῃ, καὶ παρέστησε τῷ βρέφει τούτῳ τοὺς Κορύβαντας καὶ τοὺς Κουρῆτας, ὀρχεῖσθαι καὶ κρούειν καὶ κτυπεῖν τὰ ὅπλα αὐτῶν, καὶ γενέσθαι τινὰ ἦχον, τὸν διωσμένον ἀποβλέποντας καὶ παρακρύπτοντα τὸν ἐκ τοῦ κλαυθμοῦ τοῦ παιδὸς ἦχον, ἵνα μὴ μάθῃ ὁ Κρόνος τὸ κρύπτειν τὸ παιδίον, τοῦτο λαβὼν καταπίῃ. διὸ καὶ πατὴρ μεταπειθὴς λέγεται ὁ Κρόνος. παιδὸς δὲ κλαυθμυρίζετο ὁ Ζεὺς κατὰ τοὺς ποιητάς. οἱ δὲ Κουρῆτες λέγονται οἱ μετὰ τῶν Κορυβάντων ταχθέντες, αὐτὸν τῆς Ῥέας ὀρχήσασθαι. ἐνόπλιοι δὲ οὗτοι οἱ Κορύβαντες, καὶ ἐνόπλιον δὲ ὄρχησιν καλοῦσι τὴν Πυρρίχην. κτύπον γάρ τινα ἐν τοῖς ἀσπίσιν ἐποίουν οὗτοι, πρὸς τὸ ὑπερηχῆσαι τὸν κλαυθμὸν τοῦ παιδίου. ὁ δὲ Ζεὺς αὐξηθεὶς καὶ μαθὼν, ὅτι ταῦτα ὑπὸ Κρόνου πεπράχθη, ἐπανίσταται αὐτῷ, καὶ ἀφαιρεῖ ἀπ' αὐτοῦ τὴν βασιλείαν. καὶ τοῦ ἐκπεσόντα τῆς ἀρχῆς τὸν Κρόνον τὸν ἴδιον πατέρα, κατὰ μίμησιν αὐτοῦ ὃν καὶ αὐτὸς ὁ Κρόνος ἐποίησε τῷ ἰδίῳ πατρὶ Οὐρανῷ· μὴ βουλόμενος γὰρ γεννᾶσθαι τῷ πατρὶ ἕτερον παῖδα, λαβὼν δρέπανον, ἐξέτεμε τὰ αἰδοῖα αὐτοῦ, καὶ ῥίπτει αὐτὰ εἰς τὴν θάλατταν. ἀφροῦ δὲ γενομένου, ὡς λέγουσιν, ἐγεννήθη ἡ Ἀφροδίτη. ὅθεν καὶ Ἀφροδίτη ὠνομάσθη ἐκ τοῦ ἀφροῦ. καὶ ὅτε ἔλαβε τὴν βασιλείαν ὁ Κρόνος ὕστερον πάλιν ἐξεβλήθη ὑπὸ τοῦ Διός, εἰς Ἰταλίαν ἀφικόμενος καὶ Λατίνων βασιλεὺς ἐγένετο· τιμῆς θεοῦ αὐτοῖς, καὶ γεωργίαν ἀποδείξας, ὃν καὶ ὡς θεὸν ἀποθανόντα ἐτίμησαν, ὡς ἡ δημώδης ἱστορία. καὶ αὐτὸν γὰρ τὸν Δία τάφον ὄντα Κρητῶν, θέλοντες δὲ ὑπήκοοι θεραπεύειν, ἐμυθολόγησαν, ἐκ Κρόνου θεοῦ καὶ Ῥέας ἔχειν τὴν γένεσιν, καίπερ ἄνθρωπον ὄντα εἶναι.

Περὶ δὲ τὸ διὰ δίδεται λαμπρὰν ἰσχὺν τὸν Δία, λέγεται ὅτι ὁ Ζεὺς ἀπελθὼν ἐν τῇ Ἀλθαίᾳ ἐπὶ ἄριστον ὃ οἱ Αἰθίοπες ποιήσαντες, ἐκάλεσαν αὐτὸν καὶ τοὺς ἄλλους θεούς, σὺν αὐτῷ τε δ'

ἀμείνω τῶν Αἰθιόπων, ἢ ἡ αἰτία, ἄλλη ἐστί, θυσία ὃ ἡμεῖς τοῦ Διὸς τις δ' ἐστι περὶ ταῦτα·

Ζεὺς γὰρ ἐς Ὠκεανὸν μετ' ἀμύμονας Αἰθιοπῆας
Χθιζὸς ἔβη μετὰ δαῖτα, Θεοὶ δ' ἅμα πάντες ἕποντο.

Καὶ ἄλλως· τινὲς ἱστορικῶς ἐκλαμβάνων θεραπεῦσαι τοῦτο, λέγουσιν ὅτι ἐν Διοσπόλει, μέγιστον ἐστι Διὸς ἱερὸν, καθ' ὃ λαβόντες Αἰθίοπες Διὸς ξόανον, καὶ ἄλλων δαιμόνων τῶν αὐτοῦ, κατὰ τινα καιρὸν τεταγμένον περιάγουσι τὰ κατὰ τὴν Λιβύην, καὶ πανηγυρίζουσι πανδήμως ἐπὶ δώδεκα ἡμέρας, ἐπεὶ καὶ τοσούτων περ αὐτοῖς οἱ θεοὶ. τοῦτο γοῦν φασιν ἄλλως Ὅμηρος, ὡς καὶ ποίησιν ἐθῶν ἔμπειρος, ὃν καὶ Αἰγύπτιον γενεαλογοῦσί τινες, πλάττων ἐνταῦθα δωδεκαήμερον ἀποδημίαν Διὸς ἐξ ἱστορικῆς ἀφορμῆς, εἰς τὸ πλάσμα ἐλθών.

Λέγεται δ' καὶ Ζεὺς καταχθόνιος, ὁ Ἅδης, ὡς ὄντων αὐτοῖς τῆς ὑπὸ καταγείους· εἰ δὲ κατὰ παλαιὸν ἱερέων, ἀλλὰ τινα Κορινθίων τέμενος Ζηνὸς Ποσειδῶνος ἐστιν ἱερόν. ἔστι τι Ζεὺς, ἥτις τι Ζεὺς, κοινὸν ὄνομα Διὸς καὶ Ποσειδῶνος καὶ Ἅδου τῶν ἀδελφῶν. ἄλλως δ' Ζεὺς καταχθόνιος, ἤγουν καταχθόνιος, ὁ τῆς μάλιστα Πλούτων Περσεφόνη δὲ, ἀκοίτις αὐτοῦ.

Ἔστι δ' ὁ Ζεὺς ἁπλῶς λέγεται πατὴρ, διὰ τὸ τῶν αἰτίας ζωογόνου· εἴποτε δ', πατὴρ ἀνδρῶν τε θεῶν τε, ἤτοι καθόλου· ὁ μόνον ταγχεῖον καὶ ἀστέρων καὶ ἥλιον, τῶν θεοποιῶν, ἀλλὰ καὶ ἀνδρῶν, τουτέστιν ἀνθρώπων, ὡς ἀπὸ μέρους ἀπὸ δὲ τῶν ἀνθρώπων τῷ τιμιωτάτῳ γένει, καὶ εἰς τὰ ἄλλα διαδεῖξαι τὸ ζωογόνον. ὁ δὲ μῦθος πατέρα θεῶν καὶ ἀνδρῶν, ἄλλως τὸν Δία φησὶ λέγων, ἐπεὶ κατὰ τὰς ὁμηρικὰς μυθικὰς τῶν ἄλλων δαιμόνων, οἱ μὲν μόνων θνητῶν πατέρες λέγονται, ὡς Ποσειδῶν Κύκλωπος καὶ Ὤτου, καὶ Ἐφιάλτου· Ἀφροδίτη, Αἰνείου· Θέτις, Ἀχιλλέως· καὶ ἄλλοι ἄλλων· οἱ δ', μόνων ἀθανάτων, ὡς Κρόνος Διὸς, Ἥρας, Ἅδου, Ποσειδῶνος. Ζεὺς δ' μόνος καὶ ἀθανάτων πατὴρ ἐστιν Ἀπόλλωνος, Ἡφαίστου, Ἄρεος· καὶ θνητῶν δ', ὥσπερ Σαρπηδόνος, Αἰακοῦ, Μίνωος, Ἡρακλέος, ἐκ τῆς Ἀλκμήνης, Περσέως, ἐκ τῆς Δανάης, Κάστορος καὶ Πολυδεύκους, ἐκ τῆς Λήδας, Ἰασίωνος, ἐκ τῆς Ἡμέρας, Ἰασίωνος καὶ Δαρδάνου, ἐκ τῆς Ἠλέκτρας, Βοιωτοῦ, ἐκ Θρᾳκὸς τῆς Τριτωνίδος, καὶ ἄλλων πλειόνων, ὡς ὁ μῦθος.

Ἐργῖνος, Ποσειδῶνος, ἐκ Μιλήτου.
Ἀγκαῖος, Ποσειδῶνος, ἐξ Ἰμβρασίας.
Μελέαγρος, Οἰνέως, ἐκ Καλυδῶνος.
Λαοκόων, ἀδελφὸς Οἰνέως.
Ἴφικλος, Θεστίου, ἐκ Καλυδῶνος.
Παλαίμονιος, Λέρνου τοῦ Ὠλένου, ἐκ Καλυδῶνος.
Ἴφιτος, Ναυβόλου, Ὀρνυτίδου, ἐκ Φωκίδος.
Ζήτης καὶ Κάλαϊς, Βορέου καὶ Ὠρειθυίας Ἐρεχθέως ἐκ τῆς Θρᾴκης. καὶ ἄλλοι ἀλλόθεν.
Ἄκαστος, Πελίου.
Ἰάσων, Αἴσονος καὶ Ἀλκιμέδης τῆς Κλυμένης τῆς Μινύαδος.

Λεκτέον δ' πρὸς τούτοις, καὶ ἄξι' ἐστι τὴν εὔσημον συνταχθέντων θήρας τοῦ Καλυδωνίου συὸς ὧν πρώτη ἡ γυμνοτάτη καὶ παγχυ- Ἀταλάντη· ἣ καὶ πρώτη τὸ βέλος τῷ πεφυραγμένῳ συὸς κεφαλίῳ τρώσασα. διὸ καὶ αὐτὸ γέρατος ὁ Μελέαγρος αὐτῷ ἐδωρήσατο· ἥν τινα καὶ εἰς φιλομαθῆ γάμον ὡς Ἔρωτος συ- παρεσκεύασεν.

'ΟΙ

ΟΙ ΗΡΩΕΣ ΟΙ ΤΟΝ ΚΑΛΥΔΩΝΙΟΝ ΣΥΝ ΚΤΕΙΝΑΝΤΕΣ.

ΑΤΑΛΑΝΤΗ	ΦΑΤΕΥΣ
ΜΕΛΕΑΓΡΟΣ	ΤΕΛΑΜΩΝ
ΙΑΣΩΝ.	ΠΗΛΕΥΣ
ΚΑΣΤΩΡ	ΑΔΜΗΤΟΣ.
ΠΟΛΥΔΕΥΚΗΣ.	ΙΟΛΑΟΣ.
ΠΕΙΡΙΘΟΟΣ	ΕΥΡΥΤΙΩΝ
ΘΗΣΕΥΣ	ΕΧΙΩΝ
ΛΥΓΚΕΥΣ	ΛΕΛΕΞ
ΘΕΣΤΙΑΔΑΙ	ΠΑΝΟΠΕΥΣ.
ΛΕΥΚΙΠΠΟΣ.	ΥΛΑΣ
ΑΚΑΣΤΟΣ.	ΙΠΠΑΣΟΣ
ΚΑΙΝΕΥΣ	ΝΕΣΤΩΡ
ΙΠΠΟΘΟΟΣ	ΙΠΠΟΚΟΩΝ.
ΑΡΓΑΣ	ΑΓΚΑΙΟΣ
ΦΟΙΝΙΞ	ΜΟΨΟΣ
ΜΕΝΟΙΤΙΟΣ.	ΟΙΚΛΕΙΔΗΣ.
ΙΔΑΣ	

ΠΕΡΙ ΤΟΥ ΗΦΑΙΣΤΟΥ

ΤΟν Ἥφαιστον ἐκ τῆς Ἥρας ἄνευ συζυγίας φασὶ γεννηθῆναι. τούτου γυνὴ ἦν Ἀφροδίτη, ἣν ὁ Ἄρης ἐμοιχεύσατο. ὁ δὲ Ἥφαιστος στήσας πάγας, [illegible] [illegible] εἰς παραδειγματισμὸν αὐτῶν, ἕως ἂν καλέσῃ τοὺς θεοὺς καὶ [illegible] αὐτούς. καὶ τότε οἱ θεοὶ ἰδόντες [illegible], ἐν ταῖς πάγαις [illegible] [illegible] [illegible], ὁ [illegible] χος. καὶ ἡ [illegible], πολὺν ἐπ' αὐτοῖς [illegible] γέλωτα. καὶ τότε λύεται ὁ Ἄρης, [illegible] λύτρα δοὺς τῷ Ἡφαίστῳ. χωλὸς δὲ ὁ μῦθος λέγει τὸν Ἥφαιστον [illegible] [illegible] γὰρ, [illegible] [illegible] [illegible] αὐτὸν ἡ χωλεία δι' αἰτίας τοιαύτης [illegible] γὰρ [illegible] τε ἄχθος [illegible] τῇ Ἥρᾳ, διὰ τὸ [illegible], καὶ [illegible] αὐτῇ, καὶ [illegible] τῷ [illegible] καὶ [illegible] [illegible] αὐτὸς [illegible] γίνεται ὡς βδέλυγμά τε [illegible] [illegible] [illegible] λέγεται ὅτι καὶ ἐχωλεύθη. [illegible] δὲ [illegible] [illegible] [illegible] [illegible] [illegible] γὰρ [illegible] τὸν Δία [illegible] καὶ Ἥρας [illegible] τῷ Ἀχιλλέως [illegible] διὰ τὴν [illegible] τῆς Θέτιδος, τὸν Ἥφαιστον [illegible] [illegible] [illegible] τῷ Δία [illegible] [illegible] καὶ [illegible] καὶ [illegible] τῷ Διὶ [illegible] καὶ εἰς τὴν Λῆμνον [illegible] [illegible] ἐκ τοῦ οὐρανοῦ διὰ μιᾶς [illegible] ρας.

μοι κλωπήχειον δὲ αὐτὸν καλῆναι, χαλκέα ὄντα τῇ τέχνῃ, ἐπει-
δὴ παλαιοὶ ἔνδοξον εἶχον τὴν χαλκευτικὴν διὸ καὶ κατηθαλω-
μένον καὶ κεκακωμένον, προσέτι δὲ καὶ Θερσίτην Ὀλύμπιον, διὰ
ταύτην αἰτίαν· ὁ Ὅμηρος εἰσφέρει τοῦ Θερσίτου σώματα,
χωλὸν καὶ κυρτὸν, καὶ στρεβλὸν, καὶ μαδαρὸν, καὶ προσέτι καὶ φρ-
σὶν ἦν, ἀκολουθεῖ τῷ στρατοπέδῳ, οὐ διὰ τὸ πολεμεῖν, ἀλ-
λὰ διὰ τὸ γελᾶσθαι· ἐπεὶ οὖν ὁ Ἥφαιστος χωλὸς ἦν, καὶ κεκα-
κωμένος, καὶ ὅλως παρόμοιος τῷ Θερσίτῃ, τῶν νεωτέρων τινὲς
οὕτως αὐτὸν προσηγόρευσαν.

Ἐν τῇ Λιπάρᾳ δὲ καὶ Στρογγύλῃ, (ἐν τῶν Αἰόλου δὲ νήσων
αὗται,) φασί τὸν Ἥφαιστον διατρίβειν χαλκεύοντα· διὸ καὶ πυρὸς
ἔκφυσιν ἀκούεσθαι καὶ ἦχον σφοδρόν. Ἀγαθοκλῆς δὲ ἐν τοῖς ὑπομνή-
μασι τῶν χαλκείων τοῦ Ἡφαίστου λέγων, φησὶ κατὰ Σικελίαν
δύο νήσους, ὧν ἡ μὲν καλεῖται Ἱερὰ, ἡ δὲ Στρογγύλη· αἵ τι-
νες ἀεὶ καὶ νυκτὸς πῦρ ἀφιᾶσι· καλεῖται δὲ ἡ μὲν Αἰόλου, ἡ
δὲ Ἡφαίστου· ἐν ᾗ πυρὸς πνεῦμα, φασὶν ἀπιέναι· καὶ ἄλλοι δὲ
ἐν αὐτῇ τῇ Ἱερᾷ φασὶν αὐτὸν χαλκεύειν· ὁ δὲ Καλλίας
ἐν τῇ ἑ΄ τῶν αὐτοῦ ἱστοριῶν ἐν τῷ ὀγδόῳ τῶν περὶ Ἀγαθο-
κλέα, καὶ ὄρθιον πρὸς ὕψος ὄψεσθαι ἐκεῖ, ἀφ' οὗ κρατῆρές εἰσι δύο· ὧν
ὁ ἕτερος ὕλη τῶν περιμέτρων ἐστάδια· ἀφ' οὗ πολὺ φέρεται φέγ-
γος, ὥστε ἐπὶ πολὺν τόπον διάκειν τὸ φωτισμόν, ἔνεστι ἐν τῷ
χάσματι ἀναφέρονται διάπυροι λίθοι ἐκπλεομεγέθεις, καὶ τε-
ῥίβρωμος γίνεται, καθ' ὃν καιρὸν συμβαίνει τεχνάζεσθαι
μίσχον, ὥστε ἐπὶ πεντήκοντα στάδια ἀκούεσθαι τὸν ἦχον· ἐν
δὲ ἐν τῷ φυσήματος ἀναφερομένων μυδρῶν διὰ τῶν ἐκπυρου-
μένων, ἀεί, καὶ διακεκαυμένων τῷ ἀφῷ, καὶ τῇ δυνάμει κα-
τέχουσι. διὸ πως μὲν ἐν πάντα τὰ εἴδη τῆς ἐργασίας τὰ θεῖα
γινόμενα καλῶς ὁρᾶται· μεθ' ἡμέραν δὲ ἐκ τῆς κορυφῆς, ὅθεν ἡ
φλὸξ ἀφίησιν, ὥσπερ νέφει συνερχόμενον ὁρᾶται. περὶ τούτου δὲ
ἀληθεύοντες τι αὐτὸν, ὅτι φησὶ διὰ τὰς πλήξεις τὴν πηγὴν,
καὶ διὰ τῷ πυρὸς ἐνέργειαν ἀποδείκνυσι τὰ ἑαυτῶν ἔργα· ὁ μὲν γὰρ
καὶ τὸ διαυγὲς καὶ καθαρὸν πῦρ, Ζεὺς ἐστί· τὸ δ' ἐν χρή-
σει ἐρχόμενον, Ἥφαιστος, ἀπὸ τοῦ ἧφθαι ὀνομαζόμενος· ὅθεν
Διεὶ καὶ Ἥρας ἔφασάν τινες αὐτὸν γενέσθαι, ἄλλοι δὲ μόνης
Ἥρας· αἱ γὰρ φλόγες παχυμερέστεραι τυγχάνουσι, ὡς ἐκ μόνου
τοῦ ἀέρος διακεκριμένης τῇ ὑποστάσει λαμβάνουσι. χωλὸς δὲ παρα-
δέδοται, τάχα μὲν διὰ τὸ παχύτατον τῇ τῆς ὕλης πορείας ποιεῖσθαι
τὰς ἐπισκιάζουσα ὁμοίως· τάχα δὲ καὶ ἀπὸ τοῦ μὴ δύνασθαι προ-

Βαί-

Βαίνειν δίχα ξυλάδιος τινὸς ὥσπερ βάκτρου τινὸς. ἢ, διὰ τὸ τὴν ἄνω κίνησιν τῆς κάτω πρὸς τροφὴν ἄπειρον καὶ ἀνώμαλον ποιεῖν, βραδυτέρας αὐτῆς οὔσης, χωλάζειν αὐτὸν ἔφασαν. ῥιφῆναι δ᾽ ἐκ τοῦ Διὸς εἰς γῆν λέγεται, διὰ τὸ τοὺς πρώτους ἴσως ἀρχομένους χρῆσθαι πυρὶ, ἐκ κεραυνοβόλων καταφλεχθέντων ἀνευρίσκειν, μηδέπω ὅπως τοῖς πυρείοις ἐπιτηδεῦσαι ἐπισταμένους. γυναῖκα δ᾽ αὐτοῦ τὴν Ἀφροδίτην ἔφασαν εἶναι, καθ᾽ ὃν λόγον καὶ τὴν Χάριν. μίαν ὡς γὰρ χάριν φαμὲν ἔχειν τὰ τεχνικὰ ἔργα, οὕτω καὶ τὴν Ἀφροδίτην τινὰ αὐτοῖς ἐπιτρέχειν λέγομεν. οἱ μὲν πρὸς τὸ πλάσαι, πολὺ τὸ πυρῶδες εἶναι ἐν τοῖς πρὸς τὰς μίξεις ὁρμαῖς, πέπλασται τοῦτο. διδάσκειν δὲ μυθολογοῦσι τὸν Ἄρη, μοιχεύοντα τὴν γυναῖκα. καὶ γὰρ ὁ μῦθος παρὰ τῷ Ποιητῇ ἐστι, παλαιότερος ὤν· ἐπειδὴ τῇ τοῦ πυρὸς δυνάμει ὁ σίδηρος καὶ ὁ χαλκὸς δαμάζονται. τὸ δ᾽ τῆς μοιχείας πλάσμα παρέστησεν, ὅτι ἡ τάξις μὲν πάσχει κατάλληλον τῷ μάχιμον καὶ βίαιον τῷ ἱλαρῷ καὶ μειλιχίῳ, ὡς κατὰ τὸν φυσικὸν ὁ νόμος ἐκπλέκεται. ἀποτελεσθῆναι δὲ ποτε τὴν μίξιν αὐτῶν, καλὴν καὶ γενναιοτάτην Ἁρμονίαν, τὴν ἐξ ἀμφοῖν ἁρμοσθεῖσαν ἀποτελεῖσθαι ᾔδοντο. λέγεται δὲ Ἥφαιστος μαιώσασθαι τὸν Δία, ὅτε τὴν Ἀθηνᾶν ἔτικτε. διελὼν γὰρ αὐτοῦ τὴν κεφαλὴν, ἐξέθορεν ἐκείνην ποιῆσαι. τὸ γὰρ πυρὶ ᾧ χρῶνται αἱ τέχναι, συνεργεῖν φασὶ, τὴν ἀπόδειξιν τῆς φυσικῆς τῶν ἀνθρώπων ἀγχινοίας γεγονέναι, ὥσπερ κεκρυμμένην αὐτὴν εἰς φῶς προαγαγὸν τὰς γὰρ ζητοῦντάς τι, οἱ ἀφροδίσιοι, κινεῖν αὐτὸ, καὶ ἄλλοι φαμέν.

Περὶ ἀναθημάτων Ἡφαίστου, Ἀφροδίτης τε, καὶ Ἀρτέμιδος, καὶ Ἀπόλλωνος, Ἑρμοῦ τε καὶ Ἐρώτων

Τὸ τῆς πάλης δέλεαρ τῷ Ἡφαίστῳ ἀνάκειται. ἢ μόνον ὅτι ἐπεξεργάζεται, ἀλλὰ καὶ διὰ τὴν ὕλην, ὅτι ἀπὸ τοῦ θείου, τὸ χαῖος, παράγεται καθὰ καὶ ἐκ τοῦ αἰθέρος, ὁ Ἥφαιστος. ἡ δὲ τρίγλη τῇ Ἀρτέμιδι ταρίχου ἡ τρίγλα μὲν, κατὰ τὴν Κίλικα τοποθεσίαν, τριγένης γενεὰς ἐπωνόμασται, τρὶς τίκτουσα τῷ ἔτει καὶ Ἄρτεμις ταύτην δ᾽ αὐτοῖς σελήνης τριταία, μετὰ τὴν γέννησιν σαφῶς διαφαίνεται. ἐπὶ δ᾽ αὐτῇ Ἀρτέμιδι, ταύτην δ᾽ αὐτοῖς Ἑκάτη, μοναχῶς θεσπίζει φασι, διὰ τὸ δοκεῖν μακρὰν αὐτὴν εἶναί τινα, ὡς ἐπὶ αὐτοῖς τοὺς σεληνιαζομένους. καὶ ἄλλοι δὲ ἰχθύες ἀνάκεινται τισὶ κατὰ οἰκειότητα. ὅτι Ἀπόλλωνι μὲν κίθαρος, ὅτι κιθάρα ἐστὶ κιθαριστὴς ἐκεῖνος παραδέδοται. Ἑρμῇ δὲ ὁ σκάρος, ὡς κήρυκι, διὰ τὴν βοήν. παρ᾽ ἣν καὶ βοῶπες, κήρυκες ὄνομα. Ἀφροδίτῃ δὲ, ἀφύη, ὅτι καὶ ἀφρίτης, διὰ τὸ ἄμφω ἐξ ἀφροῦ φῦναι, τήν τε ἀφύην φασὶν.

καὶ τὸν δαίμονα φυσικῶς. ὅτι καὶ λύκιον Ἀπόλλωνι ἀνάθημα διὰ τὴν ἀμφιλύκην νύκτα, μεθ' ἣν ἐκφαίνεται ὁ ἥλιος. καὶ λέγεις, Ἑρμοῦ ἀνάθημα, διὰ τὸ τάχιον τῆς κατὰ κλῆσιν γενέσεως. λέγεις τε γὰρ ἀπὸ τοῦ λύκου, καὶ Ἑρμ. ἀπὸ τοῦ ὕψου, ὅπερ τὸ ἕλικον μηνύουσι.

Θ

Θεῶν δὲ τὸ γένος, ἢ μᾶλλον Θεογονίας, ἡ κατὰ τὰς παλαιὰς, ὡς μοι δοκεῖ παρεᾶσαι, ἀλλ' ὅτι γε ἐς τὸ Θῆτα στοιχεῖον κατατέταχα, αὐτῶν γραμματικῶς ἐκτίθεμαι.

ΠΕΡΙ ΤΗΣ ΘΕΤΙΔΟΣ.

Θέτις, Νηρηΐς. ταύτης ἐκ Πηλέως ὄντα παῖδας ἀρρένας τεκεῖν λέγουσι· καὶ τὰς μὲν ἕξ εἰς λέβητα ὕδατος ζέοντα ἐμβαλεῖν· οἱ δὲ, ὅτι εἰς πῦρ βάλλουσα ἀπώλεσε, βουλομένη εἰδέναι εἰ θνητοὶ εἶεν· ἐπὶ δὲ τοῦ Ἀχιλλέως ἐφωράθη καὶ ἐκωλύθη ὑπὸ Πηλέως ἐμβαλεῖν αὐτὸν εἰς λέβητα. Χείρωνος δὲ βουλαῖς ὁ Πηλεὺς κατεῖχεν αὐτὴν, ὡς παντοίας μορφὰς μεταβάλλουσαν, καὶ ἔμιγεν αὐτῇ ἐν εἴδει σηπίας, καίτοι ὁ γάμος ἐν Πηλίῳ, καὶ οἱ Θεοὶ δῶρα ἔδωκαν· Ποσειδῶν, ἵππους, Ξάνθον καὶ Βαλίον· Ἥφαιστος, μάχαιραν· καὶ οἱ λοιποὶ, ἄλλα. γεννήσαντα δὲ ἡ Θέτις, ὥς φησι, κατὰ τὸν Ἀπολλόδωρον, Λιγύρων καλούμενον, ὕστερον δ' Ἀχιλλέα μετακληθέντα, διὰ τὸ δοθῆναι τῷ Χείρωνι, ᾧ εἶχε κοινῆς τροφῆς ἀπεστέρησε, ἀπείρατον αὐτὸν εἰς πῦρ ἔβαλε, ἡμέρας δ' ἔχρισεν ἀμβροσίᾳ, ὡς ἀθανατοῦσα τόπον ἠθέλησεν. ἰδόντος δὲ τοῦ Πηλέως τὴν Θέτιν βάλλουσαν αὐτὸν εἰς πῦρ, καὶ βοησάντος, σιωπῇ ταύτην πρὸς τὰς Νηρηΐδας ἀπεχώρησεν· ὁ δὲ Πηλεὺς τῷ Χείρωνι τῷ ἱπποκενταύρῳ τὸν παῖδα δέδωκε τρέφειν. καὶ ταῦτα μὲν φησιν Ἀπολλόδωρος. Ἀγαμήστωρ δ' ἐν Φαρσαλίᾳ, πρῶτον λέγει τον Ἀχιλλέα καλεῖσθαι, ἐν τῷ ἐπὶ Θέτιδος ἐπιθαλαμίῳ· οὕτω τοιουτοτρόπως αὐτὸν Ἀχιλλέα καλεῖσθαι, ὡς τότε σιωπῇ ἐνθηλάσαντα παῖδα. γαῦ δ' ἄρμα. Θῆρε προσῆλθεν ἄλλον Ἀχιλλέα Πηλεὺς κέκληκεν, ἔχιδνα, οὐκέτι μοι κείμενον ἐπὶ κοινῇ τροφῇ, ἐπὶ τὸν ἀπέμεινε χεῖλος, ἀπὸ θῶν ἀπο-

 φα-

φέτας ἐτίμα. ὁ δ' Εὐριπίδης, ἅπαξ φησὶ μιγῆναι Ἀχιλλέα τῇ Θέτιδι ἐν τῷ σπηλαίῳ, καὶ ἔπειτα σὺν αὐτῷ. Σοφοκλῆς δὲ ὑπὸ Ἀχιλλέως ἐραστὰς φησὶν, ὑπὸ Πηλέως λοιδορηθεῖσαν τὴν Θέτιν, καταλιπεῖν αὐτόν. ἄλλοι δὲ φασὶν ὅτι ἡ Θέτις λαμβάνουσα τοὺς παῖδας ἐκ Πηλέως γεννωμένους, περιέκαιε τὸ θνητὸν κατὰ σῶμα, βουλομένη αὐτοὺς ἀθανάτους ποιεῖν, καὶ πάντας ἔκαυσε, καὶ τὸν Ἀχιλλέα ἐν παισί. ἐπέθηκεν εἰς τὸ πῦρ, καὶ γνοὺς ὁ Πηλεὺς ἐβόησεν· ἡ δὲ λυπηθεῖσα ἐχωρίσθη. Σταφύλος δὲ ἐν τρίτῳ τῶν Θεσσαλικῶν, ἱστορεῖ Χείρωνα σοφὸν ὄντα, καὶ ἀστρονομίας ἔμπειρον, βουλόμενον τὸν Πηλέα ἔνδοξον ποιῆσαι, μεταπέμψασθαι τὴν Ἀκτόρου θυγατέρα τοῦ Μυρμιδόνος, καὶ λόγον διασπεῖραι, ὅτι μέλλει γαμεῖν τὴν Θέτιν ὁ Πηλεύς, Διὸς διδόντος αὐτῷ. καὶ δὴ θεοῦ, μετ' ὄμβρων καὶ χειμώνων ἀξίωσε εἰς τὸν γάμον. ταῦτα δὲ μίσας τηρήσας τὸν χρόνον ἐν ᾧ ἔδει ἔμελλεν ἔσεσθαι ὕσομένειο, καὶ πνεύματι ἐξέπεσε, καὶ διδόντι Πηλεῖ φιλοσοφίαν χάριν ἐπικρατῆσαι τὴν φήμην, ὅτι τὴν Θέτιν ἔγημε. Πίνδαρος δὲ λέγει, Ποσειδῶνα καὶ Ἀπόλλωνα, καὶ Δία, ἀξιοῦν τὸν γάμον τῆς Θέτιδος ἐρᾶσθαι· κωλυθῆναι δὲ αὐτοὺς κατὰ τὰς τῶν ἱστορικῶν ὑπὸ Ἐπιμηθέως· κατὰ δὲ Αἰσχύλον, ὑπὸ Προμηθέως· φησὶ γὰρ, ὅτι τέξεται γε παῖδα φέρτερον πατρός. Ἀπολλόδωρος δὲ Δία καὶ Ποσειδῶνα μετὰ τὸν γάμον τῆς Θέτιδος ἐρίσαι. Θέτιν δὲ ὡς ἐραστὴν σαι ὑφ' Ἥρας, μὴ λέγειν Διὶ συνελθεῖν. ἔδει ὀργισθέντα τὸν Δία Θέτιδι, συζεῦξαι αὐτὴν τῷ Πηλεῖ.

ΠΕΡΙ ΘΑΜΥΡΙΔΟΣ

Θάμυρις παῖς ἦν Φιλάμμωνος καὶ Ἀργιόπης νύμφης, τὸ γένος Θρᾷξ· ὃς ἔσχεν ἀνδρὸς ἔρωτα, ἀρξάμενος ἐξελθεῖν ἀρρένων. οὗτος κάλλει πολλῷ διήνεγκεν, καὶ κιθαρῳδίᾳ ἀεὶ μετ' αὐτῶν ἐρίσας ταῖς Μούσαις, συνέθετο ἐὰν μὲν κρείττων εὑρεθῇ, πλησιάσαι πάσαις· ἐὰν δὲ ἡττηθῇ, στερηθῆναι οὗ ἂν ἐκεῖναι θέλωσι. καθυπέρτεραι δὲ αἱ Μοῦσαι γενόμεναι, τῶν ὀμμάτων αὐτὸν καὶ τῆς κιθαρῳδίας, καὶ τῶν ἐστέρησαν. διὸ καὶ παροιμία λεγεται, Θάμυρις μαίνεται, ἐπὶ τῶν κατὰ συνήθειαν παράλογα διαπραττομένων.

ΠΕΡΙ ΘΕΡΣΙΤΟΥ

Θερσίτην λέγει ἡ κοινὴ ἱστορία, ἀναιρεθῆναι ὑπὸ Ἀχιλλέως κονδυλισθέντα, ἐπειδὴ τῆς Ἀμαζόνος Πενθεσιλείας ἐκκο-

ἀκόντιον ἀνελών, ὅπερ εἶχεν ἐπὶ τῇ κεφαλῇ· ὁ μὲν γὰρ ἐθαύμασε τὸ κάλλος καὶ ὡς καλλίω ἅμα καὶ ἀνδρείαν, ἀνδρειότατος καὶ κάλλιστος ἦλθεν κομιστής, τὸ ὄμμα ἐσκεπασμένος· ὁ δὲ πεδιοκόμητος, ὡς ἱστορεῖται, ἐπὶ λαγωὸν σκοπεῖ τὸ ἦμαρ· ὁ τόπον Ἀχιλλεὺς γογγύλῃ χειρὶ παίσας τὸν [illegible], τῇ καλῇ Πενθεσιλείᾳ συγκατακλίνει.

ΠΕΡΙ ΘΗΣΕΩΣ ΚΑΙ ΠΕΙΡΙΘΟΟΣ

Θησεὺς καὶ Πειρίθους, ὁ μὲν Διός, ὁ δὲ Ποσειδῶνος ὤν, ἐφάμιλλον ἐποιεῖτο τὴν πρᾶξιν. Θησεὺς μὲν γὰρ τὴν Ἑλένην ἁρπάσας, συνεργοῦντος αὐτῷ τοῦ Πειρίθου ἔσχε· ὁ δὲ Πειρίθους μετὰ ταῦτα τὴν Περσεφόνην ἁρπάσαι ἐθελήσας, ἐπορεύετο ἄγων αὐτῷ τὸν Θησέα· καὶ δὴ διὰ Ταινάρου εἰς Ἅδου κατελθόντες, καὶ ἐπί τινος πέτρας καθίσαντες, οὐκ ἐδύναντο ἐκεῖθεν ἀναστῆναι. ὕστερον δὲ Ἡρακλῆς ἐπὶ τὸν Κέρβερον κατελθών, Θησέα μὲν διὰ τὸ ἄκοντα κατελθεῖν ἀνέστησε· Πειρίθουν δέ, διὰ τὸ ἑκόντα ἁμαρτεῖν, κατέλιπεν, ὥσπερ. ἔτι δὲ τοῦ Θησέως ἐν Ἅδου ὄντος, στρατεύσαντες μετὰ τῆς Τροιζῆνος οἱ Διόσκουροι Ἀθήνας, τὴν Θησέως μητέρα αἰχμάλωτον εἷλον.

Καὶ ἄλλως περὶ τοῦ Θησέως λέγουσι μετὰ τὸ χειρίσασθαι αὐτὸν τῆς δημοκρατίας τοῖς Ἀθηναίοις, Λύκον τε, συστήσαντας ἐπιστάσει ἐξοστρακισθῆναι τὸν ἥρωα· ὁ δὲ πεπλανημένος εἰς Σκῦρον, ἦλθε παρὰ Λυκομήδην τοῦ δυνάστου τῆς νήσου, ὃς ζηλοτυπήσας, ἀπέκτεινεν αὐτὸν δόλῳ. Ἀθηναῖοι δὲ λιμώξαντες καὶ χαλεπήναντες ἐκδικάσαι τοῦ Θησέως, τὸν μὲν Λυκομήδην ἀνεῖλον, τὰ δὲ ὀστᾶ μεταστειλάμενοι, καὶ Θησεῖον κατεσκεύασαν, ἰσοθέους αὐτῷ τιμὰς νέμοντες· διενομαὶ δὲ καὶ ἀγῶνες τοῖς Θησείοις γίνονται, ταῖς δὲ ὀγδόαις τοῦ Θησέως ἤγετο, καὶ πάσας τὰς ἡμέρας ἐπαγγέλεσι, ὡς τιμῶν τὸν ἥρωα. ἑορτὴ αὐτοῦ ἐπετελεῖτο, ἐπειδὴ αὐτὸς συνήγαγε τὴν Ἀττικήν, πρότερον σποράδην καὶ κατὰ κώμας οἰκουμένην.

ΠΕΡΙ ΘΕΟΓΝΙΔΟΣ

Θέογνις, εἷς ἦν τῶν παρ' Ἀθηναίοις τυράννων· καθάπερ φασὶν ἄλλοι τε καὶ Ξενοφῶν ἐν δευτέρῳ Ἑλληνικῶν.

Καὶ Θέογνις ἕτερος Μεγαρεύς, τῶν ἐν Σικελίᾳ Μεγάρων, γεγονὼς ἐν τῇ πεντηκοστῇ ἐνάτῃ Ὀλυμπιάδι· ἔγραψεν ἐλεγείας εἰς τοὺς σωθέντας τῶν Συρακουσίων ἐν τῇ πολιορκίᾳ, καὶ γνώμας δι' ἐλεγείας εἰς ἔπη δισχίλια ὀκτακόσια. ἔγραψε δὲ καὶ γνώμας

ἀφηγητικὰς καὶ θίγνου, τραγῳδοποιὸς πάνυ ψυχρὸς ὃς καὶ Χιὼν ἐλέγετο. ἔστι δὲ καὶ κωμικὸς Μεγαρικός, ἄλλος τις Θέογνις.

ΠΕΡΙ ΘΡΑΣΥΒΟΥΛΟΥ

Θρασύβουλος, ἐραστὴς ὢν τῆς δημοκρατίας, καὶ εὔψυχος, καὶ ἀδωροδόκητος, καὶ ἐπιμελὴς τοῦ δήμου, ἠθέλησεν δι' αὐτοῦ τοῦτο καταστῆσαι. ὁρμηθεὶς δὲ καταλῦσαι τοὺς τριάκοντα, καταλαβὼν Φυλὴν φρούριον, κἀκεῖσε συμμάχους λαβών, καπλοῦς καὶ ἔτι ἀλαζονικῶς ἐφθέγξατο, ἤκουσε μὴ μυστικεῦσαι, καὶ ἐγένετο κατορθωτικός. Φυλὴ δὲ, δῆμος τῆς Ἀττικῆς καὶ οἱ ἐκεῖθεν, Φυλάσιοι. τὸ δὲ παρὰ τῷ Ἀριστοφάνει, εἰ σὺ Φυλὴν κατέλαβες, ἀντὶ τοῦ εἰ ἐπλήσσες, ἢ μέγας γέγονας. Φυλὴ γὰρ, πέτρα ὑπὸ καλύμμασι.

ΦΙΛΟΣΟΦΟΙ.

ΠΕΡΙ ΤΟΥ ΘΑΛΗ

Θαλῆς τῶν ἑπτὰ φιλοσόφων εἷς γέγονεν, Μιλήσιος· ὡς δὲ Ἡρόδοτος, Φοῖνιξ, γεγονὼς πρὸ Κροίσου. πρῶτος οὗτος τὸ σοφὸς ἔσχεν ὄνομα· καὶ πρῶτος τὴν ψυχὴν εἶπεν ἀθάνατον. ὃς δὲ ἐπὶ γεωμετρίας διεβεβαιοῦτο, πρῶτος τι τῶν ἀδε παρά ἐμάθε. ἦν μὲν ἄλλα καὶ ἄκρος μηχανικὸς τῷ. στρατεύοντος γὰρ Κροίσου πρὸς Κῦρον, καὶ μὴ δυναμένης τῆς στρατιᾶς αὐτοῦ διαβῆναι τὸν Ἅλυν ποταμὸν μέγιστον, τοῦτο τι μηχανᾶται· ἄνω τῆς στρατιᾶς ἰὼν, τὸν μὲν τὸν ποταμὸν ἐτέρωσε βάλλει, ὡς τοῦτο, ἀλλὰ τὸ ῥεῖθρον αὐτοῦ σχισθέν, τὸ μὲν εἰς τὸ ἀρχαῖον πορείαν ἐχώρει· ὥσπερ δὲ ἐπ' ἀγκάλην εἶχε τὴν στρατιάν, καὶ οὕτως ἐπεραιώθησαν. ἐποίησε δὲ τὸ εἰς δύο τμῆμα, ἵνα καὶ ἑκατέρωθεν περαιωθήσονται. φέρεται αὐτοῦ ἀποφθέγματα πλεῖστα. ἔγραψε περὶ μετεώρων ἐν ἔπεσι, περὶ ἰσημερίας καὶ ἐκλείψεως καὶ ἄλλα πολλά.

ΠΕΡΙ ΤΗΣ ΘΕΑΝΟΥΣ

Θεανὼ Κρῆσσα φιλόσοφος, θυγάτηρ μὲν Πυθώνακτος, γυνὴ δὲ τοῦ μεγάλου Πυθαγόρου. φέρεται αὐτῆς ὑπομνήματα πολλὰ φιλόσοφα καὶ ἀποφθέγματα, καὶ ποιήματά τινα δι' ἐπῶν. ἔστι καὶ ἑτέρα Θεανὼ Μεταποντίνη, ἢ Θουρία, ἔγραψε περὶ Πυθαγόρου, Πυθαγορικὴ οὖσα· περὶ ἀρετῆς ὑποθῆκαι Θεανοῦς· παραινέσεις γυναικείας καὶ ἀποφθέγματα Πυθαγορείων.

ΠΕ-

ΠΕΡΙ ΘΕΑΙΤΗΤΟΥ ΤΟΥ ΑΣΤΡΟΛΟΓΟΥ.

Θεαίτητος, Ἀθηναῖος φιλόσοφος, καὶ ἐν τῷ ἄκρως ἀστρολόγος, μαθητὴς Σωκράτους, ἐδίδαξεν ἐν Ἡρακλείᾳ. πρῶτος δὲ τὰ πέντε καλούμενα στερεὰ ἔγραψε. γέγονε μετὰ τὰ Πελοποννησιακά.

ΠΕΡΙ ΘΕΟΔΟΣΙΟΥ ΤΟΥ ΤΡΙΠΟΛΙΤΟΥ

Θεοδόσιος, φιλόσοφος Τριπολίτης· ἔγραψε Σφαιρικὰ ἐν βιβλίοις τρισί· διαγραφὰς οἰκιῶν ἐν βιβλίοις τρισίν· ὑπὲρ περὶ οἰκήσεων· ὑπόμνημα εἰς τὰ Θευδᾶ κεφάλαια· περὶ ἡμερῶν καὶ νυκτῶν β'· ὑπόμνημα εἰς τὸ Ἀρχιμήδους ἐφόδιον· καὶ δι' ὅλων εἰς τὸ ἴσαρ, καὶ ἕτερα διάφορα.

ΠΕΡΙ ΘΕΟΦΡΑΣΤΟΥ

Θεόφραστος, Μελάντα γναφέως, ἀκουστὴς Ἀριστοτέλους· ἔγραψε ἀναλυτικὰ προτέρων τρία· ἀναλυτικῶν ὑστέρων ἑπτά· ἀναλύσεως συλλογισμῶν· ἀναλυτικῶν ἐπιτομῶν· ἀνηγμένων τόπων· περὶ λίθων· περὶ φυτῶν· περὶ μετάλλων· περὶ ὀσμῶν· τοὺς καλουμένους χαρακτῆρας καὶ ἄλλα.

ΠΕΡΙ ΘΕΩΝΟΣ ΤΟΥ ΑΛΕΞΑΝΔΡΕΩΣ ΚΑΙ ΤΩΝ ΑΛΛΩΝ

Θέων, Ἀλεξανδρεύς, φιλόσοφος Στωικὸς ἐπὶ Αὐγούστου. ἔγραψεν ὑπόμνημα τῆς Ἀπολλοδώρου φυσιολογικῆς εἰσαγωγῆς· περὶ τεχνῶν ῥητορικῶν βιβλία τρία.

Καὶ ἕτερος Θέων Σμυρναῖος φιλόσοφος· καὶ Θέων Ἀντιοχεὺς τῆς ἐν Δάφνῃ φιλόσοφος Στωικός· ἔγραψεν ἀπολογίαν Σωκράτους. καὶ ἄλλος πρὸς τούτοις, ὁ ἐκ τοῦ Μουσείου Αἰγύπτιος φιλόσοφος, σύγχρονος Πάππου τοῦ φιλοσόφου, καὶ αὐτοῦ Ἀλεξανδρέως, ἀκμάζων ἐπὶ Θεοδοσίου τοῦ πρεσβυτέρου· ἔγραψε μαθηματικά, ἀριθμητικά, περὶ σημείων καὶ σκοπῆς ὀρνέων, καὶ τῆς τῶν κοράκων φωνῆς, περὶ τῆς τοῦ κυνὸς ἐπιτολῆς, περὶ τῆς Νείλου ἀναβάσεως, εἰς τὸν Πτολεμαίου πρόχειρον κανόνα, καὶ εἰς τὸν μικρὸν ἀστρολάβον ὑπόμνημα.

ΠΕΡΙ ΘΕΟΔΕΚΤΟΥ ΤΟΥ ΡΗΤΟΡΙΚΟΥ.

Θεοδέκτης, Ἀριστάνδρου Φασηλίτης ἐκ Λυκίας ῥήτωρ. ἔγραψε τέχνην ῥητορικὴν ἐν μέτρῳ, καὶ ἄλλα τινὰ καταλογάδην· καὶ τραγῳδίας. ἔτρεψε γὰρ καὶ ἐπὶ τραγῳδίας. ἀκουστὴς Πλάτωνος, Ἰσοκράτους, Ἀριστοτέλους. ὅπου ἔχειν καὶ υἱὸν Θεοδέκτην ῥήτορα καὶ αὐτόν· ὅστις ἔγραψεν ἐγκώμιον Ἀλεξάνδρου τοῦ Ἠπειρώτου· ἱστορικὰ ὑπομνήματα, νόμιμα βαρβαρικά, τέχνην ῥητορικὴν ἐν βιβλίοις ἑπτά, καὶ ἄλλα τινὰ ὑπομνήματα.

ΠΕΡΙ ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΣΟΦΙΣΤΟΥ.

Θεόδωρος Βυζάντιος σοφιστής, ὃς ὑπὸ Πλάτωνος λογοδαίδαλος ἐκλήθη. ἔγραψε κατὰ Θρασυβούλου, κατὰ Ἀνδοκίδου, καὶ ἄλλα τινά.

ΠΕΡΙ ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΓΑΔΑΡΕΩΣ.

Θεόδωρος, Γαδαρεὺς σοφιστής, ἀπὸ δούλων, διδάσκαλος γεγονὼς Τιβερίου Καίσαρος ἐπὶ Ἀλεξαν. ἔγραψε περὶ τῶν ἐν φωναῖς ζητουμένων βιβλία τρία· περὶ ἱστορίας Α'· περὶ θέσεως Α'· περὶ διαλέκτων ὁμοιότητος καὶ ἀποδείξεως Β'· περὶ πολιτείας Β'· περὶ Κοίλης Συρίας Α'· περὶ δυνάμεως ῥήτορος Α'.

ΠΕΡΙ ΘΕΟΚΡΙΤΟΥ ΤΟΥ ΡΗΤΟΡΟΣ.

Θεόκριτος Χῖος, ῥήτωρ· μαθητὴς Μητροδώρου τοῦ Ἰσοκρατικοῦ, ἔγραψε χρείας. φέρονται δὲ αὐτοῦ ἱστορίαι Λιβύης, καὶ ἐπιστολαὶ θαυμάσιαι καὶ λόγοι πανηγυρικοί.

ΠΕΡΙ ΘΕΟΠΟΜΠΟΥ.

Θεόπομπος Χῖος ῥήτωρ, υἱὸς Δαμασιστράτου, γεγονὼς κατὰ τοὺς χρόνους τῆς ἀναρχίας Ἀθηναίων ἐπὶ τῆς ϟγ' Ὀλυμπιάδος, ἅμα καὶ Ἐφόρῳ· Ἰσοκράτους ἀκουστής, ἀμφὶ Ἔφορον. ἔγραψεν ἐπιτομὴν τῆς Ἡροδότου ἱστορίας ἐν δυσὶ βιβλίοις· Φιλιππικὰ ἐν βιβλίοις οβ'· Ἑλληνικὰς ἱστορίας· ἕπονται δὲ ταῖς Θουκυδίδου καὶ Ξενοφῶντος, καὶ εἰσὶν ἐν βιβλίοις ια'· ἔχουσι τὰ ἀπὸ τοῦ Πελοποννησιακοῦ πολέμου καὶ λοιπά. ἔγραψε δὲ καὶ ἕτερα πλεῖστα.

ΠΕΡΙ ΘΕΩΝΟΣ ΤΟΥ ΣΟΦΙΣΤΟΥ

Θέων, Ἀλεξανδρεὺς σοφιστὴς, ὃς ἐχρημάτισεν Αἴλιος. ἔγραψε τέχνην περὶ προγυμνασμάτων· ὑπόμνημα εἰς τὸν Ξενοφῶντα· εἰς τὸν Ἰσοκράτην· εἰς Δημοσθένην· ῥητορικὰς ὑποθέσεις καὶ ζητήματα περὶ συντάξεως λόγου καὶ ἄλλα.

Καὶ ἕτερος σοφιστὴς Θέων ὁ Οὐαλέριος. φέρεται αὐτοῦ εἰς Ἀνδοκίδην ὑπόμνημα καὶ ἄλλοι λόγοι ῥητορικοί. σοφιστὴς γεγονὼς κατὰ τοὺς ἱερᾶς Μαρκέλλου, τὸ γε κέκληθεν, τὸ δ' ἐξ ὑπογυίου πατρόθεν ἀπὸ Ὑελίκου διδασκάλου· ἔγραψε τέχνην ῥητορικήν· ἀρχαίων ἱστορίαν καὶ ἄλλα τινά. ἔστι καὶ ἄλλος Σιλβανὸς, σοφιστὴς καὶ αὐτὸς Γυμνασίου τοῦ σοφιστοῦ παῖς, πολιτεύσας κατὰ τὴν πατρίδα, ἐπὶ Κωνσταντίνου.

ΠΕΡΙ ΘΗΡΑΜΕΝΟΥΣ ΤΟΥ ΑΘΗΝΑΙΟΥ

Θηραμένης Ἀθηναῖος, ῥήτωρ, μαθητὴς Προδίκου τοῦ Κείου· ὃς ἐπεκαλεῖτο Κόθορνος. ἔγραψε μελέτας ῥητορικὰς καὶ ἄλλα.

ΠΕΡΙ ΘΗΡΑΜΕΝΟΥΣ ΤΟΥ ΚΕΙΟΥ

Θηραμένης Κεῖος σοφιστής. ἔγραψε μελετῶν βίβλια τρία· περὶ ὁμαλότητος λόγου· περὶ εἰκόνων, ἤτοι παραβολῶν· περὶ σχημάτων.

ΠΕΡΙ ΘΡΑΣΥΜΑΧΟΥ

Θρασύμαχος, Χαλκηδόνιος σοφιστὴς ἐν Βιθυνίᾳ, ὃς πρῶτος περίοδον καὶ κῶλον κατέδειξε, καὶ τὸν νῦν τῆς ῥητορικῆς τρόπον εἰσηγήσατο, μαθητὴς Πλάτωνος τοῦ φιλοσόφου, καὶ Ἰσοκράτους τοῦ ῥήτορος. ἔγραψε συμβουλευτικοὺς· τέχνην ῥητορικήν· παίγνια· ἀφορμὰς ῥητορικάς.

ΠΟΙΗΤΑΙ.

ΠΕΡΙ ΘΑΛΗΤΟΥ ΤΟΥ ΠΟΙΗΤΟΥ

Θαλήτας Κρὴς, ἢ Ἐλλιεὺς λυρικὸς, γεγονὼς πρὸ Ὁμήρου, ἔγραψε μέλη. καὶ ἕτερος Κνώσσιος ῥαψῳδός· συνέθηκε ποιήματα τινα μυθικά.

ΠΕ-

ΠΕΡΙ ΘΕΟΓΝΗΤΟΥ

Θέογνητος κωμικός. τῶν δραμάτων αὐτοῦ Φάσμα, ἢ Φιλάργυρος· Φιλοδέσποτος· Κένταυρος.

ΠΕΡΙ ΘΕΟΓΝΙΔΟΣ

Θέογνις, Μεγαρεὺς ἐκ Σικελίας. ἔγραψε γνώμας· ἐλεγείας εἰς ἔπη βω'· καὶ πρὸς Κύρνον τὸν αὐτοῦ ἐρώμενον, γνωμολογίαν δι' ἐλεγείων· καὶ ἑτέρας ὑποθήκας παραινετικάς· τὰ πάντα ἐπικῶς. καὶ ἕτερος Θέογνις τραγῳδοποιός.

ΠΕΡΙ ΘΕΟΔΩΡΟΥ

Θεόδωρος ποιητής, ὃς ἔγραψε διάφορα δι' ἐπῶν· καὶ εἰς Κλεοπάτραν δι' ἐπῶν.

ΠΕΡΙ ΘΕΟΚΡΙΤΟΥ.

Θεόκριτος Πραξαγόρου καὶ Φιλίννης Συρακούσιος, κατὰ δέ τινες, Κῷος. ἔγραψε τὰ καλούμενα βουκολικὰ ἔπη Δωρίδι διαλέκτῳ. τινὲς δὲ ἀναφέρουσιν εἰς αὐτὸν καὶ ταῦτα, Προιτίδας, ἐλπίδας, ὕμνους, ἡρωίνας, ἐπικήδεια μέλη, ἐλεγείας, καὶ ἰάμβους· ἐπιγράμματα.

ΠΕΡΙ ΘΕΟΠΟΜΠΟΥ

Θεόπομπος, Θεοδέκτου, Ἀθηναῖος κωμικός. ἐδίδαξε δράματα κδ'. ἔστι δὲ τῆς ἀρχαίας κωμῳδίας κατὰ Ἀριστοφάνην.

ΠΕΡΙ ΘΕΟΦΙΛΟΥ.

Θεόφιλος κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστιν ἰατρός, Ἐπίδαυρος, παγκράτια, Βοιωτία, Προιτίδες, Νεοπτόλεμος.

ΠΕΡΙ ΘΕΣΠΙΔΟΣ

Θέσπις, Ἰκαρίου πόλεως Ἀττικῆς, τραγικὸς ἑκκαιδέκατος ἀπὸ τοῦ πρώτου γενομένου τραγῳδοποιοῦ Ἐπιγένους τοῦ Σικυωνίου τιθέμενος. καὶ πρῶτον μὲν χρίσας τὸ πρόσωπον ψιμυθίῳ ἐτραγῴδησεν· εἶτα ἀνδράχνῃ ἐσκέπασεν ἐν τῷ ἐπιδείκνυσθαι· καὶ μετὰ ταῦτα εἰσήνεγκε καὶ τὴν τῶν προσωπείων χρῆσιν. δράματα αὐτοῦ, ἆθλα Πελίου, Φορβάς, ἱερεῖς, ἠΐθεοι, Πενθεύς.

ΙΣΤΟ-

ἹΣΤΟΡΙΚΟΙ

ΠΕΡΙ ΘΕΜΙΣΤΟΓΕΝΟΥΣ ΤΟΥ ἹΣΤΟΡΙΚΟΥ.

Θεμιστογένης Συρακούσιος, ἱστορικός· ἔγραψε Κύρου ἀνάβασιν καὶ ἄλλα τινὰ περὶ τῆς ἑαυτοῦ πατρίδος.

ΠΕΡΙ ΘΗΣΕΩΣ ΤΟΥ ἹΣΤΟΡΙΚΟΥ.

Θησεὺς ἱστορικός· ἔγραψε τοὺς τῶν ἐνδόξων βίους ἐν βιβλίοις τρισί. Κορινθιακῶν ἐν βιβλίοις τρισίν· ἐν οἷς ἐστι καὶ περὶ κατασκευῆς τοῦ Ἰσθμικοῦ ἀγῶνος.

ΠΕΡΙ ΘΟΥΚΥΔΙΔΟΥ

Θουκυδίδης Ὀλόρου Ἀθηναῖος, μαθητὴς Ἀντιφῶντος. ἔγραψε τὸν Πελοποννησιακὸν καὶ Ἀθηναίων πόλεμον. ὕστερος δὲ ἦν τοῖς χρόνοις τοῦ Ἡροδότου.

I

ΠΕΡΙ ἸΑΝΟΥΑΡΙΟΥ

Ἰανουάριος, ἄγαλμα τετράμορφον διὰ τὰς τέσσαρας τροπάς· ὃ δὲ πλάττουσιν αὐτὸν ἐν τῇ δεξιᾷ χειρὶ κλεῖδα κατέχοντα, ὡς ἀρχὴν τοῦ χρόνου καὶ ἀνοιξιν τοῦ ἐνιαυτοῦ, καὶ ὅμοιόν τινες ἐν τῇ δεξιᾷ Τ', τῇ δὲ ἀριστερᾷ ΞΕ' κατέχοντα, ὥσπερ τὸ ἐνιαυτὸν ὅθεν καὶ ὁ Λογγῖνος ἀνωτερέων αὐτὸν ἑρμηνεύεται βαβζοντα, ὑπάρχειν αἰῶνος πατέρα.

ΠΕΡΙ ἸΑΣΙΩΝΟΣ

Ἰασίων, κατά τινας Ἑλλάνικον, Διὸς υἱὸς καὶ Ἠλέκτρας, παρ᾽ ᾧ μετά τινα κατακλυσμὸν ἐφάνη, φασὶ, σπέρματα. ὅθεν ἡ Δημήτηρ, κατά τινα μῦθον, ἐφίλει αὐτόν, ὡς καὶ Ἡσίοδος δηλοῖ καὶ μίγνυται ἐν τῷ Θαλάμῳ, ἀλλὰ ἐν νειῷ τριπόλῳ· ἣν ὁ αὐτὸς Ἡσίοδος ἐξαίρει ἀλεξικάκων καλέσας, καὶ παίδων ἀναδότειραν· καὶ ἐκ τῆς τοιαύτης μίξεως ὁ Πλοῦτος γεννᾶται, ὁ ὡραῖος δηλαδὴ ὁ δὲ τῷ Ἰασίωνι τούτῳ ἐνσκήψας κεραυνὸς εἰς πολλὴν ευχμον

 ποι-

ποιεῖται, ὡς τὸν κλῆρον ἀπενεγκεῖν ἥκοι τὴς γεωργίας ἀπ γένηται, τὸ δ' ὅλον αὐτοῖς, ὅτι γεωργήσαντες ὁ Ἰασίων, ἥκει Δήμητρι συνοικήσειν, καὶ τὸν Πλοῦτον παιδί κατ' Ἡσίοδον. δοκεῖ δ' ἀφορμὰς εἰληφέναι Ἰασίων, περὶ τὸ σιτίον, δια τὴν σπορίμων ἴσω, ὁ δὲ πέμψω ἐξ τῆς γῆς. ὁ δ' Ἀριστοτελ ἱστορεῖ, καὶ ὅτι Ἰασίων ἀδελφὸς Αἰτιῶνος καὶ Δαρδάνε, γενόμενος Γραικίας, ὃν Δημήτριος καὶ Κορ κατηχεῖ ἠρώησε εἰς τὸ Σικελίαν ἦλθε, καὶ πολλῶν ἄλλων γίον ἐπλαίσθη, τὰ ὄργια δεικνὺς διὸ λέγω ἴσχει, ὡς Δημήτης ἀπὸ μίσγεται.

ΠΕΡΙ ΤΩΝ ΙΔΑΙΩΝ ΔΑΚΤΥΛΩΝ

Ἰδαῖοι Δάκτυλοι Ἀγχιάλης Νύμφης λέγονται ὅπως Προμαχίδας δὲ λέγει, ὅτι Νύμφη τις Ἀγχιάλη Ὀιάξιδος γῆν δραξαμένη, ἐποίησε τοὺς Ἰδαίους Δακτύλους, καὶ ὅτι διὰ τὸ ποιῆσαι αὐτοὺς διὰ τῶν χειρῶν, Δακτύλους ἐκάλεσεν. οἱ δὲ τοὺς Ἰδαίους Δακτύλους ἓξ καὶ πέντε φασὶν εἶναι καὶ τοὺς μὲν δεξιοὺς, ἄρρενας τοὺς δ' ἀριστεροὺς, θηλείας. Φερεκύδης δὲ τοὺς μὲν δεξιοὺς εἴκοσί φησιν εἶναι τοὺς δ' εὐωνύμους, τεσσαράκοντα. γόητες δὲ ἦσαν καὶ φαρμακεῖς καὶ δημιουργοὶ σιδήρου λέγονται πρῶτοι, καὶ μεταλλεῖς. ὀνομάζονται δ' Ἰδαῖοι, ἀπὸ τῆς μητρὸς Ἴδης. οἱ μὲν ἀριστεροὶ γόητες, οἱ δ' δεξιοὶ, ἀναλύοντες. οἱ δὲ φασιν ὅτι Ἰδαῖοι ἐκλήθησαν, ἐπειδὴ ἐν τῇ Ἴδῃ συντυχόντες τῇ Ῥέᾳ ἐδεξιώσαντο τὴν θεὸν καὶ τῶν δακτύλων αὐτῆς ἥψαντο. Μνασέας δὲ λέγει Δάκτυλοι λέγονται ἀπὸ Δακτύλου τοῦ πατρὸς καὶ Ἰδαῖοι, ἀπὸ τῆς μητρὸς Ἴδης. δεῖ δ' εἰδέναι ὅτι Ἰδαῖοι, καὶ Δάκτυλοι, καὶ Κουρῆτες, καὶ Κορύβαντες, οἱ αὐτοί εἰσι.

ΠΕΡΙ ΤΟΥ ΙΑΣΟΝΟΣ

Τυρὼ, ἡ Σαλμωνέως θυγάτηρ, ἔτεκε τῷ Ποσειδῶνι Νηλέα καὶ Πελίαν. αὕτη γαμεῖται Κρηθεῖ τῷ Αἰόλου παιδὶ καὶ τίκτει αὐτῷ Αἴσονα, Φέρητα, καὶ Ἀμυθάονα· καὶ γίνεται ἐκ μὲν Αἴσονος, Ἰάσων ἐκ δ' Φέρητος, Ἄδμητος ἐκ δ' Ἀμυθάονος, Μελάμπους. καὶ ὁ μὲν Ἰάσων, ἐκδίδοται Χείρωνι τρέφεσθαι, καὶ τὴν ἰατρικὴν μανθάνει, Αἴσονος τοῦ πατρὸς τὴν βασιλείαν τῷ ἀδελφῷ Πελίᾳ καταλιπόντος, ἄχρι τὸ καὶ κρατεῖν τὸν Θεσσαλίας κελεύσαντος, ἕως ἂν ἐπανέρχηται Ἰάσων ἀπὸ Χείρωνος χρησμὸν δ' ὁ Πελίας ἔλαβεν παρὰ τοῦ Ἀπόλλωνος, ὁ Πελίας φυλάττεσθαι τὸν ἐπιόντα πρὸς αὐτὸν μονοσάνδαλον τοῦτο ἐξ γῆς δὲ ἐκεῖ

δὲ Ἰάσων αὐξηθεὶς, ἤγγειλε πρὸς τὸν ἀδελφὸν τοῦ πατρὸς, μεθέξειν καὶ αὐτὸς τῆς βασιλείας τοῦ πατρός. γενόμενος δ' ἐν τῷ Ἀναύρῳ ποταμῷ, (ἔστι δὲ οὗτος τῆς Θετταλίας) καὶ βουλόμενος παρελθεῖν, εὗρεν ἐπὶ τῆς ὄχθης τὴν Ἥραν γραῒ ὁμοιωθεῖσαν, διαπεράσαι μὴ βουλομένην, φοβουμένην δὲ, καὶ ἐδεῖτο. εἶτα τοῦτο γε. Ἰάσων, λαβὼν ἐπὶ τῶν ὤμων, διασώζει. κατὰ δὲ τὸ μέσον τοῦ ποταμοῦ, τὸ ἓν πέδιλον ἀποβάλλει τοῦ ποδός. εἶτα ἀφικνεῖται εἰς τὴν πόλιν, μονοπέδιλος, καὶ εὗρεν πανήγυριν δημοτελῆ, καὶ θυσίαν ἀγομένην τοῖς θεοῖς, ὑπὸ Πελίου. θεασάμενος δὲ μονοπέδιλον τὸν Ἰάσονα ὁ Πελίας, ἀναμιμνήσκεται τοῦ χρησμοῦ. ἀναλαβόμενος δὲ αὐτὸν κατ' ἰδίαν, ἄθλον αὐτῷ προτείνει τοῦτο, εἰπὼν ὅτι, ἀπελθὼν εἰς τὴν Σκυθίαν, τὸ χρυσόμαλλον δέρας κόμισον, καὶ λήψῃ τὴν βασιλείαν τοῦ σοῦ πατρός. τοῦτο δὲ προσέταξεν, οὐχ ὡς τοῦ ἀθλοῦ τοῦ χρυσοῦ δεόμενος, ἀλλ' οἰόμενος αὐτὸν ἐν τῇ ἀλλοδαπῇ ἀναιρεθήσεσθαι ὑπό τινος, ἢ ἐν τῇ θαλάσσῃ ναυαγήσειν. ὁ δὲ Ἰάσων πλεύσας διὰ τῆς Ἀργοῦς εἰς Κόλχους, καὶ μετακομισάμενος τὸ χρυσοῦν δέρας, ἐπανῆλθε καὶ τὴν ἀποκειμένην αὐτῷ βασιλείαν ὑπὸ τοῦ πατρὸς ἀπεδέξατο τοῦ Πελίου φυγόντος.

Τὰ δὲ περὶ τοῦ χρυσομάλλου δέρατος οὕτως ἔχει. Ἀθάμας, υἱὸς Αἰόλου, ἀδελφὸς Κρηθέως, ὡς Ἀπολλώνιός φησιν (ἄμφω γὰρ Κρηθεὺς Ἀθάμας τ' ἔσαν Αἰόλου υἷες,) ποιεῖ ἐκ Νεφέλης δύο παῖδας, Φρίξον καὶ Ἕλλην. πλανηθείσης δὲ αὐτῆς, γαμεῖ δευτέραν γυναῖκα τὴν Ἰνώ. αὕτη δὲ, ὡς μητρυιὰ, ἐπεβούλευε τοῖς παισὶ, τοῖς ἐκ τῆς προτέρας γυναικός· καὶ φρύξασα τὰ σπέρματα, παρέσχε τοῖς γεωργοῖς πρὸς σπόρον. οἱ δὲ, κατασπείραντες μὲν ἐν τῇ γῇ· ἡ δὲ γῆ λαβοῦσα, οὐκ ἔφυσε τοὺς καρποὺς τοὺς ἐτησίους διὰ τὸ πεφρύχθαι τὸν σπόρον. Ἀθάμας δὲ, ὡς ἑώρα, συναγαγὼν τοὺς μάντεις, ἤρετο αὐτούς, μαθεῖν βουλόμενος τὴν αἰτίαν τῆς ἀφορίας. ἡ δὲ Ἰνὼ πέμψασα πρὸς αὐτοὺς, δῶρα ἐπηγγείλατο δώσειν, εἰ φήσουσι πρὸς Ἀθάμαντα, ὡς εἰ μὴ ἀναιρεθείη τὰ τέκνα τὰ ἐκ τῆς προτέρας γυναικὸς αὐτῷ γεγονότα, Φρίξος καὶ Ἕλλη, οὐκ ἂν καρποφορήσοι ἡ γῆ τοὺς καρπούς. πεισθέντες δὲ οἱ μάντεις λέγουσι ταῦτα. ἀπειλήσαντος τοῦ Ἀθάμαντος, μελλόντων δὲ τῶν παίδων τῆς Νεφέλης Φρίξου καὶ Ἕλλης σφάζεσθαι, κριὸν ἀπέστειλεν αὐτοῖς τὸν χρυσόμαλλον κελεύουσα. οὗτος ἐπὶ τῶν νώτων λαβὼν ἀνέστειλεν εἰς θάλασσαν καὶ ταχυνόμενος ἔφερεν αὐτούς. ἐλθόντων δ' εἰς τὸ Τρωϊκὸν πέλαγος, ἀποβάλλει τὴν Ἕλλην· ὅθεν καὶ ἀπ' αὐτῆς Ἑλλήσποντον ὠνομάσθη. τὸν δὲ Φρίξον ἐπὶ τὴν Σκυθίαν

διακομίζει, ἔνθα αὐτὸς σφάζει μὲν τὸν κριὸν, ἐκ δὲ Φρίξῳ Διΐ· ὅτι ἔξέφυγε τὴν ἐπιβουλὴν τῆς μητρυιᾶς· γαμεῖ δὲ Χαλκιόπην τὴν θυγατέρα Αἰήτου τοῦ Σκυθῶν βασιλέως· καὶ ποιεῖ ἐξ αὐτῆς παῖδας τέσσαρας, Ἄργον, Κυτίσσωρον, Μέλανα, καὶ Φρόντιν, καὶ οὕτως ἐκεῖ τελευτᾷ.

Ἰάσονος γενεαλογία, καὶ πῶς ἀπῆλθεν αὐτοῦ κληρονομήσας τὸ χρυσόμαλλον δέρας.

ΣΑΛΜΩΝΕΥΣ, ὁ τῆς Ἀχαΐας καὶ Ἤλιδος βασιλεὺς, γεννᾷ

ΤΥΡΩ,

ἥτις πρῶτον ἐκ Ποσειδῶνος γεννᾷ

ΝΗΛΕΑ, ΠΕΛΙΑΝ.

γεννήσασα δὲ τοὺς δύο τούτους παῖδας, ἀπὸ τοῦ Ἐνιπέως τοῦ ποταμοῦ ῥεῖθρον, καπηλεῖ· ὃν μὲν ἔτι ἕνα κίνδυνον, ἀπερρίφθη τῆς τῶν τέκνων, περιέχοντα θάλον, ὕστερον· τὸν δὲ ἕτερον ἀφ' ἵππων καὶ τὸ μέτωπον ἐπάταξεν. ἐπελθόντι δὲ οἱ ἱπποφορβοὶ, ἀνελόμενοι τὰ παιδία ἔτρεφον· καὶ τὸν μὲν, ὅτι ἐκ συνεχομένης τῆς ἐπιλαθείσης, Πελίαν ὠνόμασαν· τὸν δὲ ἕτερον, ὅτι κίνδυνον τεθλίψε, Νηλέα. ὕστερον δὲ ἡ Τυρὼ γαμεῖται Κρηθεῖ τῷ Αἰόλου παιδὶ, ἐξ οὗ τοῦ ἱπποτάδου ἐξ ἧς γεννᾷ

ἈΙΣΩΝΑ, ΦΕΡΗΤΑ, ἈΜΥΘΑΟΝΑ,

ἐξ οὗ ἐξ οὗ ἐξ οὗ

ἸΑΣΩΝ, ἌΔΜΗΤΟΣ ΜΕΛΑΜΠΟΥΣ.

ὃς ἐκ τῆς Ὑψιπύλης

τῆς Λημνίας,

ἘΥΝΕΩΣ, καὶ ἘΥΗΝΟΣ.

ἈΘΑΜΑΣ, υἱὸς Αἰόλου, ἀδελφὸς Κρηθέως πάππου ἸΑΣΟΝΟΣ ἐκ τῆς ΝΕΦΕΛΗΣ γεννᾷ

ΦΡΙΞΟΝ, ἙΛΛΗΝ.

ὃς καὶ

Χαλκιόπης

τῆς Αἰήτου τοῦ Σκυθῶν βασιλέως, ᾗ ἔγημεν ἐκεῖ συνελθὼν διὰ τοῦ χρυσομάλλου κριοῦ,

ἌΡΓΟΣ, ΚΥΤΙΣΣΩΡΟΣ, ΜΕΛΑΣ, ΦΡΟΝΤΙΣ.

ὥστε τὸν Ἰάσονα δίκαιον ἀπελθεῖν τοῖς παισὶ τοῦ Φρίξου ὑπὸ τῆς κατακλυσμοῦ. τότε ἦσαν καὶ οἱ κληρονόμοι τοῦ χρυσομάλλου τοῦ δέρους ἐλθεῖν εἰς Κόλχους. ἔθανον γὰρ οἱ υἱοὶ Φρίξου εἰς τὸ τῆς Ἀλβανῶν πέλαγος, μὴ δυνηθέντες σωθῆναι. Ἀλβανοὶ δὲ, οἱ νῦν Μεγαρεῖς.

ΠΕ-

ΠΕΡΙ ΤΟΥ ἼΔΟΥ

Ἴδας, Ἀφαρέως μὲν υἱὸς, ἀδελφὸς δὲ Λυγκέως· οὗτος ἄριστος τοξότης ὑπάρχων, τῷ Ἀπόλλωνι, κατὰ μῦθον, ἀντικατέστη, ἀγωνίζοντι κατ' ἔρωτα τὴν Μάρπησσαν τὴν αὐτοῦ γαμετὴν, καὶ ἐθέλοντα· ὡς καὶ ὁ Λυκόφρων ἱστορεῖ καὶ φαίνεται μὲν ἀσυνθέτως κάλλους αἴνιγμα τὸ ὁ τοῦ Ἀπόλλωνος ἥλιε, ὡς τὴν παῖδα λευκὴν ἔρος, ὡς ἀξιωθέντα, καὶ ὅσον ἠλιώθη τὸ εἶδος, καὶ διὰ τοῦτο τῷ ἡλίῳ ἀρέσασα· ἀξιοῦται δὲ ὅμως, ἄλλως τι φιλανθρώπου τῆς Μαρπήσσης, ἣν ὁ μῦθος λέγει πολλά τι κλαύσασαν, ὅτι ὑπὸ Ἀπόλλωνος ἐκλαπῆ, καὶ αἱρεσιν γνῶναι προσλαβεῖν Ἀπόλλωνα, ἢ αὐτῷ συγγηράσαντι θνητῷ Ἴδα. ὁ δὲ θυγάτηρ Εὐήνου τοῦ γαμβροκτόνου ὃς ὡς ἁμαρτηλασίαν τοὺς μνηστῆρας τῆς θυγατρὸς προκαλούμενος, καθὰ καὶ ὁ Οἰνόμαος, καὶ τῷ διακοσμεῖν αὐτὸν δυναμένῳ, ὡς ἔπαθλον διδοὺς αὐτὴν καὶ τοὺς λειπομένους, ὁ δὲ ἐκτεμῶν, καρατομῶν, καὶ τὰς κεφαλὰς τῆς οἰκίας ἀπαιωρῶν ὡς ἐφοβεῖτο ἕνεκα ἐκείνου. ὅτε δὲ ὁ Ἴδας ὑφαρπάσας αὐτὴν, ὑπεκπάγε τὴν Μάρπησσαν, καὶ ἐκεῖνος ἐπιδιώξας, οὐ κατέλαβε, κατασφάττει μὲν τοὺς ἵππους, ἑαυτὸν δὲ ῥίπτει εἰς τὸ νῦν μὲν Λυκόρμαν ποταμὸν, ἀπ' ἐκείνου δὲ, Εὔηνον.

ΠΕΡΙ ΤΟΥ ἼΔΜΩΝΟΣ

Ἴδμονα Χαμαιλέων τὸν Θέσπιος φησὶ καλεῖσθαι δι' ἐμπειρίας. Φερεκύδης δὲ τὸν Ἴδμονα Ἀστερίας τῆς Κορώνου, καὶ Ἀπόλλωνός φησι γενέσθαι· τοῦ δὲ, κατὰ Λαθάρας, Θέστορα τοῦ δὲ, Κάλχαντα· ὁ δὲ Ἀπολλώνιος, Ἄβαντος φησιν· συμμαρτυρεῖ δὲ αὐτῷ καὶ Ἡρόδοτος, ὅν τινα καὶ Ἀπολλώνιον λέγει ὅτι Ἄβαντι τοῦ Ἕλληνος γίνεται Κρηθεὺς καὶ Ἀθάμας· Κρηθέως δὲ Ἀμυθάων καὶ Αἴσων· Ἀμυθάωνος δὲ, Μελάμπους· τοῦ δὲ Ἄβας, οὗ Ἴδμων.

ΠΕΡΙ ἸΑΛΩΝΟΣ

Ἰάλων, ἥρως, Ποσειδῶνος υἱός· ἀφ' οὗ Ἀκροτήριον ἐν Τριπόλει, Ἰάλωνος ἔστι τῆς θαλάσσης μετέωρον, ὡς ὑπερβάλλοντος τῷ μεγέθει, ὥστε ἔλεγε Τιτᾶνα, ἤ τινες παῖδας. ἄλλοι δὲ θεὸν Πελασγὸν φασίν.

ΠΕΡΙ ΤΗΣ ἸΝΟΥΣ.

ΠΟΣΕΙΔΩΝ ἐκ τῆς Δαναῆς τῆς Βήλου γήμει
ΑΓΗΝΟΡΑ,
ἐξ ἧς Ἀργιόπης τῆς Νείλου ποταμοῦ
ΦΟΙΝΙΞ, ἸΣΑΊΗ, ΜΕΛΙΑ, ΚΑΔΜΟΣ, ΈΥΡΩΠΗ.
ἐξ ὧν
Ἁρμονίας,
ἸΝΩ, ΣΕΜΕΛΗ, ἈΓΑΥΗ, ἈΥΤΩΝΗ.

Ἰνώ, γυνὴ τοῦ Ἀθάμαντος, μετὰ τῆς Νεφέλης [illegible] ἐν τῷ [illegible] Ἀθάμαντος εἴρηται [illegible] μετὰ τοῦ παιδὸς αὐτῆς Παλαίμονος, τοῦ πρότερον Μελικέρτου λεγομένου, διὰ τὸ [illegible] ὑπ' Ἀθάμαντος μανέντος, εἰς θάλασσαν ἐκείνην ἐξεγχθὴ δὲ περὶ Κόρινθον ὑπὸ δελφῖνος. Ἀμφίμαχος δὲ καὶ Διοξίππος [illegible] τὸ σῶμα, ἄγουσι εἰς Κόρινθον. ὁ δὲ Σίσυφος ἀδελφὸς ὢν Ἀθάμαντος, βασιλεύων Κορίνθου, ἀγῶνα καὶ θυσίαν [illegible] αὐτοῖς ἐποίει, [illegible] ὅθεν καὶ [illegible] καὶ Λευκοθέα ἀπὸ τῆς [illegible] θαλάσσης [illegible], ἡ Ἰνὼ [illegible] καὶ [illegible] Βίος, ἡ αὐτὴ [illegible] Λυκόφρων [illegible], Βύθος [illegible], Βυθοῦσαν δὲ καὶ [illegible] εἴρηται δὲ, [illegible] τὸ εἰς βυθὸν δῦναι, Βυθοῦσαν, ἡ κατοῦσα εἰς [illegible] συγκοπὴν, [illegible] ἡ [illegible] τὸ δύω, δύω, ἡ [illegible] τὸ βίω, τὸ κολυμβῶ θάλασσαν, καὶ Βύνη κατὰ [illegible] ἡ [illegible] τὸ βύω, τὸ κρύπτω, ὅπερ καὶ [illegible] ὅθεν καὶ ἡ αὐτὴ Βύνη.

ΠΕΡΙ ἸΞΙΟΝΟΣ.

Ἰξίων, κατὰ μὲν Εὐριπίδην, Φλεγύα παῖς ἦν· κατὰ δὲ Φερεκύδην, Ἀντίωνος· ὃς γαμήσας Δίαν τὴν Ἠιονέως, [illegible] ὑπέσχετο δῶσειν ἕδνα. ἐλθόντος δὲ ἐπὶ ταῦτα τοῦ Ἠιονέως, [illegible] βόθρον ποιήσας ὁ Ἰξίων, καὶ [illegible] ἀπολέσθαι καὶ κόνιν λεπτὴν [illegible] εἰς τοῦτο ὁ Ἠιονεύς, ἀπώλετο. λύσσα δὲ τὸν Ἰξίονα [illegible] ἐπὶ τούτῳ καὶ οὐδεὶς ἤθελεν αὐτὸν ἁγνίσαι [illegible] θεῶν, [illegible] ἀνθρώπων ὅτε πρῶτος ἐμφύλιον [illegible] ἀνεῖλεν. ἐλεήσας δὲ ὁ Ζεὺς ἥγνισεν αὐτόν. ὁ δὲ ἀχάριστος ὢν Ἥρας ἠράσθη. ὁ δὲ Ζεὺς νεφέλην ὁμοιώσας Ἥρᾳ [illegible] καὶ ὕστερον ποιήσας τροχὸν πτερόεντα, καὶ δεσμεύσας αὐτὸν τιμωρεῖται.

Ἄλλως δὲ, ἔοικεν ὁ Ἰξίων φαντασιωθείς τις [illegible], καὶ πραγμα-

μάτων ἐφιέμενος ὥσπερ αὐτοῦ ἔτυχον, ὁπόσας πολλάς ὁ μακρὸς χρόνος ἤνεγκε. διότι ὁ μῦθος ἐρᾶν αὐτὸν λέγει τῆς Ἥρας, ὅ ἐστι τῆς δηλαδὴ ἡγεμονικῆς· καὶ γὰρ ἐν παλαιοῖς καὶ ὡς ποιητής τι, ὡς εἴρηται, τὴν Ἥραν ἐνηγκαλίσατο, ζωὴν ὑμῖν λέγοντες τῆς βασιλείας· ἔτι λεκτέον ὁ Ἰξίων παίζη, φησί, τῇ νεφέλῃ, σκιὰν δηλαδὴ καὶ φαντασίαν τῆς φιλοτιμίας ὑψηλῆς ζωῆς, καὶ ἐδέξατο τὸ πλῆθος καὶ ἀπέτεκε Ἱπποκενταύρους, ἀσυστάτους δηλονότι ἐννοίας, καὶ ὡς ἐκ γῆς φύσεις πλεοναζομένων· οὐδὲν γὰρ ἔστιν ὁ ἐπιταλαίπωρος, ὥσπερ οὐδὲ ὁ τραγέλαφος.

ΠΕΡΙ ΙΚΑΡΙΟΥ ΤΟΥ ΠΑΤΡΟΣ ΤΗΣ ΠΗΝΕΛΟΠΗΣ

Ἰκάριος, Λάκων τὸ γένος, ὁ πατὴρ Πηνελόπης, ἀδελφὸς δὲ Τυνδάρεω τοῦ Λάκωνος, τοῦ πατρὸς τῆς Ἑλένης. ἐκ τῆς δυνάμεως ἐκπεσόντες ὑπὸ Ἱπποκόωντος, ἦλθον εἰς Θέστιον Πλευρωνίων ἄρχοντα· καὶ τὴν πέραν Ἀχελώου συγκατεκτήσαντο. ὕστερον δέ, Τυνδάρεως μὲν τὴν Θεστίου θυγατέρα Λήδαν λαβών, ἐπανῆλθεν εἰς Σπάρτην αὐτοῦ, Ἑλένη καὶ οἱ Διόσκουροι. Ἰκάριος δὲ γήμας, μένει, φασίν, ἔχων τὴν Ἀκαρνανίαν· ἔνθα καὶ πεπαιδοποιηθεῖσα Πηνελόπη ἐν Πλευρῶνι, τῷ Ὀδυσσεῖ πρὸς γάμον ἐδόθη.

ΠΕΡΙ ΤΗΣ ΙΠΠΟΔΑΜΕΙΑΣ

Ἱπποδάμεια ἔτεκεν ἐκ τοῦ Πέλοπος, Ἀτρέα, Θυέστην, Πιτθέα, Ἀλκάθουν, Πλεισθένην, Χρύσιππον· οἱ δέ, Ἀτρέα, Θυέστην, Ἀλκάθουν, Ἵππαλκον, Πιτθέα, Δίαντα, ὁ Χρύσιππος ἐκ τῆς Ἀξιόχης. καλεῖ Πίνδαρος, ἔγνω ἡγεμόνας καὶ Ἱπποδάμεια, ἀγορὰ ἐν Πειραιεῖ ἔστι καλουμένη, ἀπὸ Ἱπποδάμου Μιλησίου ἀρχιτέκτονος, τοῦ οἰκοδομησαμένου Ἀθηναίοις τὸν Πειραιᾶ.

ΠΕΡΙ ΙΠΠΟΔΑΜΟΥ

Ἱππόδαμος τὸν Πειραιᾶ πρῶτος κατὰ τὰ Μηδικὰ συνήγαγεν· ἦν καὶ κατῴκει, καὶ οἰκίαν εἶχεν, ὥσπερ πάσας δημοσίας· ἦν δὲ Ἀθηναίοις ἐλήλυθε διαβάλλεται δὲ ἐπὶ πολυπραγμοσύνῃ. Ἀριστοφάνης· ὁ δὲ Ἱππόδαμος οἰκιστὴς ἐν τῇ πόλει, κατακλείεται τοὺς δήμους, ἀνάξιος ὁρῶν σε τῆς πόλεως καρπούμενον.

ΠΕΡΙ ΙΣΙΔΟΣ

Ἶσις, δαιμόνιόν ἐστιν ὄνομα τιμώμενον παρὰ Αἰγυπτίοις. ἐκ τοῦ ἴσου δὲ γίνεται Ἶσις· ἡ αὐτὴ γάρ ἐστι τῇ γῇ· καὶ γὰρ ἡ γῆ

ἴση

ἔστι ἐπὶ ἐ σφαιροειδές. ἄλλοι δὲ λέγουσι, ὅτι αὕτη [illegible] τοῦτο χάριν διὰ τὸ ι γράφεται ἐπειδὴ [illegible] τὰ πάθη [illegible] γὰρ πολλὰ ἐπλακέσθη ἡ Ἰὼ μεταβληθεῖσα εἰς βοῦν [illegible] δὲ τὸ Ἴωσι, τῷ κανόνι τῷ Βιθυνίῳ ἐ γὰρ ἔχει τὸ Ι [illegible] ἐπὶ τῆς συλλαβῆς, ὡς Ἴωσι.

ΠΕΡΙ ΙΣΤΙΑΙΑΣ.

Ἱστιαία, θυγάτηρ Ὑρίεως, ἀρχαία ἡρωΐς, ἀφ' ἧς ἡ πόλις [illegible] μασται Ἱστιαία. κεῖται δὲ ἡ Ἱστιαία [illegible] ἐπὶ τὸ [illegible] λαιον ποταμοῦ ἐπὶ πέτρας ὑψηλῆς· διὸ καὶ Ὠρεὸς [illegible] σαν δηλαδὴ τὸ Ο εἰς Ω, διὰ τὸ ὄρεος, φασίν, [illegible] κέκληται. δοκεῖ δὲ, φασί, καὶ Ὠρεὸν ἐνταῦθα τραφῆναι, [illegible] ὅπως αὐτὴ εἰς [illegible] ἀνεκαλεῖτο, ὅτι ἐ ὁ Ὠρεὸν [illegible] οὕτω λέγεται ὀνομασθῆναι [illegible] ἐ γυνὴ [illegible] Ἀλεξάνδρου τοῦ Γεωργίου, Ἱστιαία ἐ Ἑστιαία.

ΠΕΡΙ ΤΟΥ ΙΤΥΟΣ

Ἴτυς, υἱὸς ἦν Τηρέως ἐ Πρόκνης τῆς ἑαυτοῦ γαμετῆς. [illegible] γὰρ, ὁ τῶν Ἀθηναίων βασιλεὺς, Πρόκνην [illegible] πρὸς γάμον ἐκδίδωσι τῷ Τηρεῖ Θρακῶν [illegible] τοῦ γάμου [illegible] Θρακῶν μετὰ Πρόκνης, [illegible] Ἴτυν μετὰ δὲ χρόνον συχνὸν, ποθέσης τὴν ἀδελφὴν Φιλομήλαν τῆς Πρόκνης [illegible], ὁ Τηρεὺς Ἀθήναζε ἀπελθὼν, καὶ λαβὼν [illegible], αὐτῆς διεκόρησε καὶ τὴν γλῶτταν αὐτῆς ἀπέτεμεν, [illegible] θεὸν τὸ [illegible] Πρόκνη [illegible] μαθοῦσα τὸ συμβὰν [illegible] Πρόκνη μετὰ [illegible] μαθοῦσα τὸ [illegible], σφάξασα τὸν υἱὸν Ἴτυν, εἰς βρῶμα παρέθηκε τῷ Τηρεῖ [illegible] δὲ γνοὺς, ἐδίωκεν αὐτὰς ξίφει, τὸ τῷ φθεγγομένῳ. Πρόκνη [illegible], κατὰ τινας, ὡς ἐν τῷ [illegible] Πανδίονος λέγονται, [illegible] θρηνεῖ τὸν φόνον Φιλομήλα [illegible] Ἴτυν θρηνοῦσα, [illegible] ἐλεεινὸν φθέγγεται τὰ [illegible] Διὸς ἐλθόντος, [illegible] Φιλομήλα [illegible] εἰς ἀηδόνα, ἡ δὲ Πρόκνη, εἰς χελιδόνα μετεβλήθησαν, [illegible] καὶ Τηρεὺς εἰς ἔποπα, ταῦτα φθέγγεσθαι [illegible] ἀεί.

ΠΕΡΙ ΤΗΣ ΙΦΙΓΕΝΕΙΑΣ

Ἰφιγένεια, κατά τινας, Νεοπτολέμου τοῦ Ἀχιλλέως [illegible] χεν μετὰ δὲ τὴν ἐκ' Ἐλευσῖνι Ἰφιγενείας θυσίαν, ὡς [illegible]

δαρθ. Ἰφιγένεια δὲ ἐκ Ἐπείου συγγεῖσα, παρῆσαν, ὥς τινές φασιν, Ἀχιλλεῖ τὸν παῖδα Δηϊδαμείας ἐν Σκύρῳ τῇ νήσῳ. Τρεφόμενος δὲ ἐν λοιποῖς τάσσει Δηϊδαμείας τῆς Λυκομήδους θυγατρὸς καὶ Ἀχιλλέως παῖδα τὸν Νεοπτόλεμον ἔτεκεν· φησὶ γὰρ ὁ Τροφέδαμος οὕτως·

Υἱοῦ Ἀχιλλέως, καὶ ἐκείνης Δηϊδαμείας.

τὴν δὲ Ἰφιγένειαν κατά τινας, ἀκεσθεῖσαν τῶν ... , ἢ γυναῖκα ἔχειν Ἀχιλλέα, ἀλλὰ κατεχρήσαντο τῶν ἁπάντων ἐν τῷ ἀνάγειν τοὺς Ἕλληνας, ἐν Αὐλίδι, πέμπουσιν εἰς Μυκήνας ἐφελκῦσαι πρὸς θυσίαν τὴν Ἰφιγένειαν. ἐρομένης δὲ τῆς Κλυταιμνήστρας τῆς αὐτῆς μητρὸς, τίς ἡ χρεία αὐτῆς, ἔφασαν Ἀχιλλεῖ μέλλειν συνάψαι αὐτήν. οἱ δὲ τὸ ὄντι λέγουσι, διὰ Ἀχιλλέως ταύτην κομισθῆναι ἐν Αὐλίδι, καὶ διὰ τὸ συμβαίνειν τὸ σφαλῆναι ἀεὶ τὰς ἀνέμους, ἔμελλεν αὐτὴν θύειν, ὅτι ἄνευ τῆς Ἑλλάδος ἀναπλεῖν τῶν Ἑλλήνων ἐπὶ Τροίαν ἐγένετο. ἐν τῇ Αὐλίδι πόλει τῆς Βοιωτίας, θυσίας γινομένης τῇ Ἀρτέμιδι, καὶ τῆς θυγατρὸς τοῦ Ἀγαμέμνονος τῆς Ἰφιγενείας, ἐπιτεθείσης τυθῆναι, ἡ Ἄρτεμις ἐλεήσασα τὴν παρθένον, ἁρπάζει μὲν ταύτην καὶ ἀποφέρει αὐτὴν εἰς Ταύρους ἐν Σκυθίᾳ, (ἔθνος δὲ ἐστὶ τῆς Σκυθίας οἱ Ταῦροι) ἔλαφον δὲ ἀντὶ τῆς παρθένου φαίνεσθαι ἐποίησεν, ἥντινα λαβόντες ἔθυσαν οἱ Ἕλληνες. κατὰ δὲ Φανόδημον τὸν ἱστορικὸν, εἰς ἄρκτον μετέβαλε· κατὰ δὲ Νίκανδρον, εἰς ταῦρον· καὶ κατ' ἄλλους εἰς γραῦν. αὐτὴ δὲ ἡ Ἰφιγένεια οὖσα ἐν τοῖς Ταύροις, διὰ τὸ μὴ ἐπιγνωσθῆναι αὐτὴν τῶν ... τῆς ..., ἐπέτρεψε θύειν αὐτὰς τῇ Ἀρτέμιδι. ὕστερον δὲ Ὀρέστης διωκόμενος ὑπὸ τῶν Ἐρινύων, καὶ ἐλθὼν αὐτὴν ἐπὶ Ταύρους, καὶ συλληφθεὶς ὡς ξένος ἐν ... , καὶ προστεθεὶς, ὡς ἱερεὺς τῇ ἀδελφῇ Ἰφιγενείᾳ, ἐγνωρίσθη διὰ τῶν ἐλεφαντίνων ὤμων, καὶ ἐρρύσθη τῆς θυσίας. ὅτε λοιπὸν ὁ Ὀρέστης, ὡς φασι, λαβὼν τὴν ἰδίαν ἀδελφὴν, κομίζει πάλιν εἰς τὴν Ἑλλάδα.

Τὸ δ' ἀληθὲς ἀεὶ τῆς θυσίας οὕτως ἔχει· περισωθεῖσα τὴν Ἰφιγένειαν τῇ θυσίᾳ, καὶ μελλούσης θύεσθαι, ἔλαφος, ἢ ταῦρος, ἢ γραῦς, ἢ ἔλαφος, διέδραμε μέσον τῶν Ἑλλήνων ..., καὶ προσ... τοῦ μάντεως, τὸ διελθὸν ἐκεῖνο φαίνεται. ἡ δὲ Ἰφιγένεια σωθεῖσα, ἀπάγεται παρὰ Σκύθαις, ἐν ᾗ πόλει Ἀρτέμιδος λέγεται ..., ἀεὶ οἱ πάντες τοὺς Ἕλληνας ἀποκτείνουσι. τινὲς δὲ τὴν Ἰφιγένειαν ταύτην, ὥσπερ καὶ Δοῦρις, οὐκ Ἀγαμέμνονος θυγατέρα λέγουσιν, ἀλλὰ Θησέως. καὶ Ἑλένης γεννηθεῖσαν· ἄλλοι δὲ καὶ

 ἐν

ἐκ Κλυταιμνήστρας λέγουσι τὴν Ἰφιγένειαν, ἀλλὰ ἐκ τῆς Χρυσηΐδος καὶ Ἀγαμέμνονος, παῖδας γίνονται, Χρύσης, καὶ ἡ ῥηθεῖσα Ἰφιγένεια. μετὰ δὲ τὸ πορθῆσαι Ἴλιον, ὑπὸ τῶν Ἑλλήνων Ἀπολλωνι, Χρύσης μὲν ἐν τῇ λεγομένῃ Χρύσῃ πόλει τοῦ Εὐξείνου πόντου· τὴν δὲ Ἰφιγένειαν τὴν αὐτῷ ἀδελφὴν Ταυροσκύθαι αἰχμαλωτίσαντες, ἱέρειαν Ἀρτέμιδος, κατὰ νόμους, ἐποίησαν ὡς ἐπὶ [illegible] δέ τι θυομένης τῆς Ἰφιγενείας ἀνειρημένης ἔλαφον, καὶ ταύτης Ἕλληνες ἀκηκοότες, καὶ τὴν κορὴν [illegible] καὶ γὰρ Ἰταλοὶ [illegible] ῥώμης αὐτῆς, ὅπως ἐσώθη [illegible] γὰρ αὐτῆς, [illegible] ἀπὸ τοῦ δαιμονίου, ἢ ἱέρειαν, ἐγκάζει ἐν τῷ ξίφει, καὶ [illegible] μαλλον ἐπιρρίπτει πλησίον τοῦ νεὼ [illegible], ἐν καὶ [illegible] ἀντ' αὐτῆς

ΠΕΡΙ ΤΟΥ ΙΚΑΡΙΟΥ, ΤΟΥ ΠΑΡΑ ΔΙΟΝΥΣΟΥ ΛΑΒΟΝΤΟΣ ΤΟ ΤΗΣ ΑΜΠΕΛΟΥ ΚΛΗΜΑ ΚΑΙ ΦΥΤΕΥΣΑΝΤΟΣ

Οὗτος λέγεται, ὅτι περὶ τὸ Δηοῦς [illegible] ἔσομαι τὸ ἄμπελον λέγουσιν αὐτῷ. ὅτι δὲ ὁ Διόνυσος ἐλθὼν Ἀθήναζε, Ἰκαρίῳ τινὶ περιτυχών, δίδωσιν αὐτῷ κλῆμα ἀμπέλου φυτεῦσαι· καὶ ποιήσας καὶ ἐγεώργησεν οἶνον· καὶ ἔπιε [illegible] αὐτός, καὶ δέδωκε καὶ τοῖς ποιμέσι τοῖς [illegible] οἱ δὲ ποιμένες μεθυσθέντες, διὰ τὸ μὴ [illegible] φαρμαχθῆναι [illegible] τὸν Ἰκαρίον, ἀποκτείνουσιν αὐτόν. ἡ δὲ Ἠριγόνη, ἡ τούτου θυγάτηρ, διὰ τὸν κύνα τοῦ Ἰκαρίου ὑλακῆς, γνοῦσα ὅτι ἀπέθανε, [illegible] καὶ ἔγχαλε. καὶ καθὼς μυθεύουσι, τούτων, φασίν, [illegible] ἐν θεοῖς διὰ τὸ πάθος, μετέθηκαν ἀυτὸν εἰς τὸν οὐρανὸν, καὶ [illegible] ἐν τοῖς ἄστροις ἡ Ἠριγόνη. οἱ δέ φασι περὶ Χοὸς [illegible] [illegible] μέλανα οἶνον· οἱ δὲ φυτεῦσαι καὶ θεραπεῦσαι ἀμπέλους μαθόντα, παρ' Ὀπωπέως Διονυσίου, τοῦ καὶ [illegible] σου, τοὺς ἄλλους ἀνθρώπους μεταδοῦναι.

ΠΕΡΙ ΤΟΥ ΙΦΙΚΛΟΥ

Ἴφικλος, υἱὸς τοῦ Φυλάκου καὶ Κλυμένης τῆς Μινύου [illegible] διὰ τὴν τῶν ποδῶν ἀρετὴν, καὶ ἀνέμοις ἁμιλλᾶσθαι, καὶ τοὺς ἀσταχύων ἐπιθεῖναι οἷον καὶ μὴ κατακλᾶν αὐτά.

ΠΕΡΙ ΤΗΣ ΙΟΥΣ

Ἰώ, Ἰνάχου θυγάτηρ ἦν· ἧς ποτε Ζεὺς ἐν τῷ Ἄργει ἠράσθη καὶ φοβηθεὶς τὴν Ἥραν τὴν ἑαυτοῦ γυναῖκα, μετέβαλε τὴν Ἰὼ
εἰς

εἰς βῦς, καί ποτε μὲν εἰς λευκὴν, ποτὲ δὲ εἰς μέλαιναν, ποτὲ δ' εἰς ἰάζουσαν· καὶ οὕτω, ἐπλανᾶτο μετ' αὐτῆς. ἦλθεν δὲ καὶ ἐν Αἰγύπτῳ πλανώμενος μετ' αὐτῆς· καὶ διὰ τοῦτο τιμῶσιν οἱ Αἰγύπτιοι τὴν Ἰῶ, ἥτις ἡ Ἶσις· αὕτη γὰρ ἑρμηνεύεται παρ' αὐτοῖς. διὸ ἐπὶ τοῦ ἀγάλματος αὐτῆς ἀεὶ τὴν κεφαλὴν κέρατα βοὸς ἐγγλύφουσι, σημαίνοντες τὴν κόρην, τὴν εἰς βοῦν μεταβολήν. ὅθεν καὶ Ἀρριανὸς περὶ τοῦ Βοσπόρου λέγων οὕτω πορθμὸς ὁ κατὰ Χαλκηδόνα καὶ Βυζάντιον, ὁ ποτὲ Μύσιος, διότι Μυσοὶ ἀντιπέραν ᾤκουν τῆς Θρᾴκης· ὕστερον δὲ, Βόσπορος, ἐπὶ τῇ συμφορᾷ τῆς Ἰοῦς, ἣν κατὰ μῆνιν Ἥρας οἰστρωθεῖσαν, εἰς τὴν χώραν ταύτην ἀφικέσθαι, καὶ ταύτῃ διαπεραιώσασθαι ἐν μύθοις παρέδοσαν. λέγει δὲ ὁ αὐτὸς καὶ ὅτι, κατά τινας, οὐκ ἀπὸ τῆς ῥηθείσης βοὸς ὁ τοιοῦτος Βόσπορος, ἀλλ' ἀπό τινος ἑτέρας ὠνόμασται, ἥτις, φησὶ, Φρυγῶν ἐπικειμένων, ἐκβάλλει αὑτὴν εἰς τὴν θάλασσαν, καὶ περαιοῦται ἀβλαβῶς τὸν κατὰ Χαλκηδόνα καὶ Βυζάντιον Βόσπορον. καὶ οὕτω καθηγεμὼν ἐκείνοις γίνεται, κατά τινα θεοφορίαν, ἤγουν μαντείαν, ἥτις ἀπαλλαγῆς βοῦν ἡγεμόνα τῆς ὁδοῦ ποιήσασθαι· ὁ δὲ ποιήσαντες ἐσώθησαν, διαπεραιώσαντες ἀσφαλῶς. καὶ μνῆμα, φησὶ, τῆς βοὸς ταύτης ἔστηκε βοῦς χαλκῆ, ὕστερόν ποτε χρόνῳ ὑπὸ Χαλκηδονίων ἱδρυθεῖσα. καὶ τόπος ἐκ ταύτης κλῆσιν ἔχει, ὅστις καλεῖται Δάμαλις, τοῦ τοιοῦ. ὁ δὲ Ἔφορός φησιν, ἁρπασθῆναι τὴν Ἰὼ ὑπὸ Φοινίκων, καὶ διακομισθῆναι εἰς Αἴγυπτον, ὅθεν τὸν βασιλέα τῶν Αἰγυπτίων πέμψαι Ἰνάχῳ ταῦρον ἀπολλύντος δι' ἐκείνην, περιέλθειν αὐτοὺς ὑπερθνήσκοντες, καθὰ πρότερον ἐκ ἐγένετο τὸ ζῶον. ἡ δὲ τὸν ἀγωγὸν ἐκομίσθη, δι' ὃ ἐν τῷ ταῦρον ἔχοντες, ἐκάλεσαν τὸν Βόσπορον. ἄλλοι δὲ πάλιν οὕτω φασὶ περὶ τῆς Ἰοῦς μὴ πιθανὰ τὰ δὲ μύθοις νομίζοντες. Ἰὼ, βασιλέως τοῦ Ἀργείων οὖσα θυγάτηρ. ταύτῃ ἐκ τῆς πόλεως τιμὴν εἴληχε, τὸ, ἱέρεια εἶναι τῆς Ἀργείας Ἥρας· αὕτη ἔγκυος γεγονυῖα, καὶ δείσασα τὸν πατέρα καὶ τοὺς πολίτας, ἔφυγεν ἐκ τῆς πόλεως. οἱ δὲ Ἀργεῖοι κατὰ ζήτησιν ἐξελθόντες, ὅπου ἂν εὕρωσι συλλαμβάνοντες, ἐν δεσμοῖς εἶχον. Ἰὼ γὰρ δὲ, ὅτε ὥσπερ βοῦς οἰστρηθεῖσα, διαπεραιοῦσα εἰς Αἴγυπτον· ἔνθα ἀφικομένη, τίκτει· ὅθεν ὁ μῦθος ἀνεπλάσθη. ταῦτα δὲ ἐν οἷς καὶ ὁ Γοργίας, καὶ ὑπὸ τῆς Ἰοῦς τὸ Ἴασον οἶδεν βασιλέα Πελοποννήσου. διὸ καὶ Ἴασον Ἄργος αὐτὸ καλεῖ Ὅμηρος.

ΠΕΡΙ ΤΟΥ ΙΑΜΒΛΙΧΟΥ.

Ἰάμβλιχος ὁ φιλόσοφος, Χαλκίδος τῆς Συρίας, μαθητὴς Πορφυρίου φιλοσόφου τοῦ Πλωτίνου ἀκουστοῦ, ἐπὶ Κωνσταντίνου βασιλέως. ἔγραψε διάφορα βιβλία φιλόσοφα.

ΠΕΡΙ ΙΑΣΟΝΟΣ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ.

Ἰάσων Μενεκράτους Νυσαεὺς ἐκ πατρός, ἀπὸ δὲ μητρός, Ῥόδιος φιλόσοφος, μαθητὴς καὶ θυγατριδοῦς, καὶ διάδοχος τῆς ἐν Ῥόδῳ διατριβῆς Ποσειδωνίου τοῦ φιλοσόφου. ἔγραψε βίους ἐνδόξων, καὶ φιλοσόφων διαδοχάς, καὶ βίον Ἑλλάδος ἐν βιβλίοις δ΄. ἔγραψε καὶ περὶ Ῥόδου.

ΠΕΡΙ ΤΟΥ ΙΕΡΟΚΛΕΟΥΣ.

Ἱεροκλῆς, φιλόσοφος Ἀλεξανδρεύς, ἔγραψε σύγγραμμα εἰς τὰ χρυσᾶ ἔπη τῶν Πυθαγορείων βιβλίον, καὶ περὶ προνοίας, ἐν ἑπτὰ βιβλίοις συγγραφέν· ἐν οἷς φαίνεται ὁ ἀνὴρ τὴν μὲν ζωὴν εὐφρόσυνον, τὴν δὲ γνῶσιν ἐκ σχεδίας.

ΠΕΡΙ ΙΠΠΑΡΧΙΑΣ.

Ἱππαρχία ἀδελφὴ Μητροκλέους τοῦ Κυνικοῦ, Μαρωνεῖτις φιλόσοφος, Κράτητος γυνὴ τοῦ Κυνικοῦ, ὃς ἦν Ἀθηναῖος, Βρύσωνος μαθητὴς τοῦ Ἀχαιοῦ, ἢ, ὥς τινες, Διογένους. ἔγραψε φιλοσόφους ὑποθέσεις, καί τινα ἐπιχειρήματα καὶ προτάσεις πρὸς Θεόδωρον τὸν ἐπικληθέντα ἄθεον.

ΠΕΡΙ ΙΠΠΑΡΧΟΥ.

Ἵππαρχος Νικαεὺς φιλόσοφος ἐπὶ τῶν ὑπάτων. ἔγραψε περὶ τῶν Ἀράτου φαινομένων, περὶ τῆς τῶν ἀπλανῶν συντάξεως, καὶ τοῦ καταστηρισμοῦ, περὶ τῆς κατὰ πλάτος μηνιαίας τῆς σελήνης κινήσεως, καὶ εἰς τοὺς ἀστέρας.

Καὶ ἕτερος Ἵππαρχος Σταγειρίτης φιλόσοφος, Ἀριστοτέλους γνώριμος καὶ συγγενής. ἔγραψε περὶ τοῦ τί τὸ ἄρρεν καὶ θῆλυ παρὰ θεοῖς, καὶ τίς ὁ γάμος, καὶ ἄλλα τινά.

ΠΕΡΙ ΙΠΠΟΒΟΤΟΥ.

Ἱππόβοτος φιλόσοφος, ὃς ἔγραψεν ἐννέα αἱρέσεις τῶν φιλοσόφων.

ΙΠ-

ΠΕΡΙ ΙΣΤΙΑΙΟΥ

Ἱστιαῖος, Σάμιος ἦν τὸ γένος. φιλόσοφος δὲ γενόμενος Δαρείῳ τῷ Περσῶν βασιλεῖ, ἐλήφθη ὑπ' αὐτοῦ εἰς Πέρσας. ἐπεὶ δὲ ἐκρατεῖτο, ἐπεθύμει ἰδεῖν τὴν ἑαυτοῦ πατρίδα. μὴ ἀπολυόμενος δὲ, γράφει τῷ ἰδίῳ ἀνεψιῷ τῷ Ἀρισταγόρᾳ μελετᾷν ἀποστασιν, καὶ πείθειν καὶ τοὺς τῶν Ἰώνων ἀποστῆναι. γράφει δὲ οὕτως· λαβὼν τινὰ οἰκέτην, καὶ τούτου τὴν κεφαλὴν ξυρήσας, ἐγχαράττει τῇ κεφαλῇ ὃ δηλῶσαι ἐβούλετο· εἶτα μέλανι ἐγκαυστῷ τὸν χαραχθέντα ἐγκαλεῖ, καὶ ἀνεὶς ἀνεγκαῖ τὰς τρίχας, καὶ μετὰ τὸ χρονίσαι αὐτὸν, ἀποπέμπει λέγων τῷ οἰκέτῃ τελεῖν ἐκεῖσε γενόμενον ἀποξυρηθῆναι, ἵνα ἀναγνῷ Ἀρισταγόρας τὰ γράμματα. ἀναγνοὺς τοίνυν ὁ Ἀρισταγόρας Ἱστιαίου τὰ γράμματα, καὶ μαθὼν, ἐποίησε τὴν ἀπόστασιν σχεδὸν πάντων τῶν Ἰώνων. εἶτα μανθάνει ὁ Περσῶν βασιλεὺς, καὶ σύμβουλος γίνεται τῷ Ἱστιαίῳ ὡς Ἕλληνι, τί δεῖ ποιῆσαι· καὶ συμβουλεύεται ὑπὸ τοῦ Ἱστιαίου αὐτὸν πέμψαι εἰς τὴν Ἀσίαν, ὡς ἱκανὸς εἴη διαλῦσαι τὰ περὶ τὴν ἀπόστασιν. ἐλθὼν οὖν ὁ Ἱστιαῖος ἐν τῇ Ἀσίᾳ, καὶ ὡς ὕποπτος γενόμενος ἐν τῷ πράγματι ὑπὸ τοῦ Ἀρταφέρνου τοῦ ὑπάρχου Σαρδίων, ἔφησε ταύτην τὴν ὑπόδημα ἔρραψας μὲν Ἱστιαῖος, ὑπεδύσατο δὲ Ἀρισταγόρας· ὑπόδημα δὲ τὴν ὅλην κατασκευὴν ἔλεγε. ταῦτα Ἡρόδοτος ἐν τῇ ἱστορίᾳ.

ΠΕΡΙ ΙΑΣΟΝΟΣ ΤΟΥ ΙΣΤΟΡΙΚΟΥ.

Ἰάσων Ἀργεῖος, νεώτερος Πλουτάρχου τοῦ Χαιρωνέως ἔγραψε περὶ τῆς Ἑλλάδος βιβλία δ΄. ἔχει δὲ ἀρχαιολογίαν Ἑλλάδος καὶ τὰ ἀπὸ τῶν Μηδικῶν καὶ τὰ κατ' Ἀλέξανδρον ἕως τῆς πλάνης αὐτοῦ καὶ τὰ μέχρι τῆς Ἀθηναίων ἁλώσεως τῆς γενομένης ὑπὸ Ἀντιπάτρου τοῦ πατρὸς Κασσάνδρου.

ΠΕΡΙ ΙΠΠΥΟΣ ΤΟΥ ΙΣΤΟΡΙΚΟΥ

Ἵππυς Ῥηγῖνος, ἱστορικὸς γεγονὼς ἐπὶ τῶν Περσικῶν· ὃς πρῶτος τὰς Σικελικὰς πράξεις ἔγραψεν, ἃς ὕστερον Μύης ἐπετέμετο· κτίσιν Ἰταλίας· Σικελικῶν βιβλία ε΄· χρονικὰ ἐν βιβλίοις ε΄· ἀρχαιολογικῶν τρία. οὗτος πρῶτος ἔγραψε παρῳδίαν, καὶ χωλίαμβον, καὶ ἄλλα.

ΠΕ-

ΠΕΡΙ ΙΣΤΡΟΥ ΤΟΥ ΣΥΓΓΡΑΦΕΩΣ.

Ἴστρος, Μενάνδρου Κυρηναῖος συγγραφεὺς, Καλλιμάχου δοῦλος καὶ γνώριμος. Ἕρμιππος δέ φησιν αὐτὸν Πάφιον, ἐν τῷ δευτέρῳ τῶν διαπρεψάντων ἐν παιδείᾳ δούλων. ἔγραψε δὲ πολλὰ καὶ καταλογάδην καὶ ποιητικῶς.

ΙΑΤΡΟΙ.

ΠΕΡΙ ΤΟΥ ΙΠΠΟΚΡΑΤΟΥΣ

Ἱπποκράτης Κῷος ἰατρὸς, Ἡρακλείδου υἱὸς, γόνος μαθητὴς πρῶτον τοῦ πατρὸς, εἶτα Ἡροδίκου τοῦ Σηλυβριανοῦ, καὶ Γοργίου τοῦ ῥήτορος καὶ φιλοσόφου, ὡς δέ τινες, Δημοκρίτου τοῦ Ἀβδηρίτου καὶ Προδίκου. διέτριψεν ἐν Μακεδονίᾳ φίλος ὢν τοῦ βασιλέως Περδίκκα. παῖδας ἔσχε δύο Θεσσαλὸν καὶ Δράκοντα. κατέστρεψε τὸν βίον γηραιὸς δ' ὢν ρ' ζ' καὶ θάπτεται ἐν Λαρίσσῃ τῆς Θετταλίας. πρώτη βίβλος αὐτοῦ, ἡ τὸ ὅρκιον περιέχουσα. δευτέρα, ἡ τῆς προγνώσεως ἐμφαίνουσα τέχνη, ἡ τῶν ἀφορισμῶν ἀνθρωπίνην ὑπερβαίνουσα σύνεσιν ... τετάρτη ἡ πολυθρύλλητος καὶ πολυθαύμαστος ἑξηκοντάβιβλος, ἡ πᾶσαν ἰατρικὴν ἐπιστήμην τε καὶ σοφίαν ἐμπεριέχουσα.

Ἱπποκράτης Γνωσιδίκου Κῷος καὶ αὐτὸς τοῦ γένους τῶν Ἀσκληπιαδῶν, ἰατρός.

Ἱπποκράτης Θεσσαλοῦ, Κῷος ἰατρὸς, ἔγγονος Ἱπποκράτους τοῦ πρώτου τοῦ υἱοῦ Ἡρακλείδου· ἔγραψε καὶ αὐτὸς ἰατρικά τινα.

Ἱπποκράτης τέταρτος Δράκοντος ἰατρὸς Κῷος καὶ αὐτὸς τοῦ αὐτοῦ γένους, ὃς ἰάτρευσε Ῥωξάνην. ἔγραψε καὶ αὐτὸς ἰατρικά.

Ἱπποκράτεις δύο, πέμπτος καὶ ἕκτος ἰατροὶ, Θυμβραίου παῖδες Κῷοι, καὶ αὐτοὶ τοῦ γένους τοῦ αὐτοῦ. ἔγραψαν ἀμφότεροι τῆς αὐτῶν ἐπιστήμης.

Ἱπποκράτης ἕβδομος Κῷος, καὶ αὐτὸς ἰατρὸς, Πραξιάνακτος παῖς· καὶ αὐτὸς ἐκ τοῦ αὐτοῦ γένους. ἔγραψε καὶ αὐτὸς ὡς τὸ αὐτῆς τρόπον.

ΡΗΤΟΡΕΣ

ΠΕΡΙ ΙΠΠΙΟΥ ΤΟΥ ΡΗΤΟΡΟΣ

Ἱππίας Διοπείθους Ἠλεῖος ῥήτωρ καὶ φιλόσοφος μαθητὴς Ἡγεσιδάμου· ὃς τέλος ἀρετῆς ἔταξε τὴν αὐτάρκειαν· ἔγραψε πολλά.

ΠΕ-

ΠΕΡΙ ΙΣΑΙΟΥ.

Ἰσαῖος εἷς μὲν τῶν δέκα ῥητόρων μαθητὴς μὲν Ἰσοκράτους, διδάσκαλος δὲ Δημοσθένους, Ἀθηναῖος τὸ γένος. οὗτος ἐπαινεῖται καὶ ὡς ῥήτωρ, καὶ ὡς Δημοσθένην αὐτοῦ προσαγαγών.

ΠΕΡΙ ΤΟΥ ΙΣΟΚΡΑΤΟΥΣ.

Ἰσοκράτης Θεοδώρου αὐλοποιοῦ Ἀθηναῖος ῥήτωρ, γνώριμος μετὰ τὰ Πελοποννησιακὰ ἔγραψε λόγους λβʹ, βιώσας ἔτη τρία πρὸς τοῖς ἑκατόν.

Ἰσοκράτης Ἀμύκλα τοῦ φιλοσόφου μαθητὴς καὶ διάδοχος τοῦ μεγάλου Ἰσοκράτους διακούσας δὲ καὶ Πλάτωνος τοῦ φιλοσόφου, λόγους πέντε Ἀμφικτυονικόν, προτρεπτικόν, περὶ τοῦ τύφου μὴ ποιῆσαι Φίλιππον, περὶ τοῦ μετοικισθῆναι, περὶ τῆς ἑαυτοῦ πολιτείας.

ΠΕΡΙ ΙΦΙΚΡΑΤΟΥΣ.

Ἰφικράτης Σκυτέως πατρός, Ἀθηναῖος ῥήτωρ, καὶ στρατηγός, ὃς ἀριστεύσας ἐν τῇ λιθίνῃ ἐπίγραμμα ἐποίησε μεμνημένος τοῦ στρατηγοῦ ἀρίστου μόνον τῆς πόλεως ἐπιγραφομένου.

ΠΕΡΙ ΙΒΥΚΟΥ ΤΟΥ ΠΟΙΗΤΟΥ.

Ἴβυκος Φυτίου υἱὸς, ποιητής. ἔγραψε Δωρίδι διαλέκτῳ βιβλία ζʹ. ὅτε συλληφθεὶς λῃσταῖς, καὶ μηδένα μὲν σύμμαχον, μηδὲ μάρτυρα τῆς ἐπιβουλῆς ἔχων, θεωρῶν τὰς γεράνους, ὑμεῖς, εἶπεν, ὦ γέρανοι, τιμωροί μου τοῦ φόνου. τῆς δὲ πόλεως ζητούσης τοὺς φονεύσαντας, καὶ μὴ εὑρισκόντων, τινὲς ἐκπληττόμενοι θεάτρῳ, καὶ τῶν λῃστῶν καθεζομένων, γεράνων διπτοσάντων. θεασάμενοι δὲ οἱ φονεῖς ἐγέλασαν καὶ εἶπον, αἱ τιμωροὶ τοῦ Ἰβύκου. τῶν δὲ πλησίον καθεζομένων τινὸς ἀκούσαντος, ἀπαγγείλαντος τοῖς ἄρχουσι, καὶ συλληφθέντες ὡμολόγησαν τὸν φόνον, καὶ τὴν φόνου δίκην ἔδοσαν.

Ὅρα τὴν ἀνίκητον πρόνοιαν τοῦ Θεοῦ, καὶ δικαιοσύνην.

ΠΕΡΙ ΙΔΑΙΟΥ ΤΟΥ ΠΟΙΗΤΟΥ.

Ἰδαῖος Ῥόδιος, ὃς Ἀντιπάτρου παρεμβαλὼν στίχον στίχῳ, ἐδιπλασίασε τὴν ποίησιν Ὁμήρου. ἔγραψε καὶ ἄλλα Ῥόδια εἰς ἔπη γʹ.

ΠΕΡΙ ΙΟΦΩΝΤΟΣ ΤΟΥ ΤΡΑΓΙΚΟΥ.

Ἰοφῶν Ἀθηναῖος τραγικὸς υἱὸς Σοφοκλέους τοῦ τραγῳδοποιοῦ γνήσιος ἐδίδαξε δράματα πεντήκοντα· ὧν ἐστιν Ἀχιλλεύς, Τήλεφος, Ἀκταίων, Ἰλίου Πέρσις, Δεξαμενός, Βάκχαι, Πενθεὺς καὶ ἄλλα τινὰ τοῦ πατρὸς Σοφοκλέους.

ΠΕΡΙ ΙΩΝΟΣ ΤΟΥ ΠΟΙΗΤΟΥ.

Ἴων Χῖος, τραγικὸς καὶ λυρικὸς, καὶ φιλόσοφος. δράματα δὲ αὐτοῦ ΙΒ΄ οἱ δὲ λ΄ οἱ δὲ μ΄. ὅπου ἔγραψε περὶ μετεώρων καὶ συνθέτους λόγους· ὃν παίζει Ἀριστοφάνης ὁ Κωμικὸς ἀοῖον φησιν.

ΠΕΡΙ ΙΠΠΑΡΧΟΥ ΤΟΥ ΚΩΜΙΚΟΥ.

Ἵππαρχος κωμικὸς τῆς ἀρχαίας κωμῳδίας· δράματα αὐτοῦ περὶ γάμων.

ΠΕΡΙ ΙΠΠΩΝΑΚΤΟΣ ΤΟΥ ΙΑΜΒΟΓΡΑΦΟΥ.

Ἱππῶναξ Ἐφέσιος Ἰαμβογράφος· γράφει δὲ πρὸς Βούπαλον καὶ Ἄθηνιν ἀγαλματοποιούς, ὅτι αὐτοῦ εἰκόνας πρὸς ὕβριν εἰργάσαντο.

K

ΠΕΡΙ ΤΟΥ ΚΑΔΜΟΥ.

Κάδμος υἱὸς Ἀγήνορος ἦτοι, ὡς Ἑλλάνικος ἱστορεῖ ἐκ πρώτου Φοίνικος, ἀπέκτεινε τοὺς ὀδόντας τοῦ δράκοντος, καὶ Ἄρεος θελήσει καὶ σπείρας πέντε ἄνδρας ἐνόπλους, Οὐδαῖον, Χθόνιον, Πέλωρ, Ὑπερήνορ, Ἐχίων. ὁ δὲ Ἀπολλώνιος πολλὰς ἄπτει καὶ ἄλλους πολεμίους, τετολμηκότας. ἐν δὲ τῷ τέταρτῳ Μουσῶν Τετρογραφίας λέγεται, ὡς Κάδμος ἐν τῷ Δελφικῷ στομίῳ, ἀρχιχαθηγησαμένης αὐτῷ τῆς βοός. ἴστεται δὲ ὁ Διόνυσος ἐν τούτῳ ὀνομαστικὰ φησιν, ἔθος τε καλοῦσι σπαρτοὺς καὶ ὁμίλους ἐν τούτῳ. Ἀντίμαχος Φερεκύδης δὲ ἐν τῷ πέμπτῳ οὕτω φησίν· ἐπειδὴ Κάδμος κατῳκίσθη ἐν Θήβαισιν, Ἄρης διδοῖ αὐτῷ καὶ Ἀθηναίη τοὺς

ἄρα, τοὺς ἡμίσεας εἰπόντας, τοὺς δὲ ἡμίσεας, Ἄρεω ὁ Κάδμος ὄφιος σπείρει οὕτως εἰς τὴν ἄρουραν, Ἄρεω κελεύσαντος, καὶ αὐτῶν ἀναφύονται ἄνδρες ὁπλισμένοι· ὁ δὲ Κάδμος δείσας, βάλλει αὐτοὺς λίθοισιν· οἱ δὲ δοκέοντες ὑφ' ἑωυτῶν βάλλεσθαι, κτείνουσι ἀλλήλους ἀπέκτειναν, πλὴν πέντε ὑπελείφθησαν, Οὐδαῖος, Χθόνιος, Ἐχίονος, Πέλωρος, Ὑπερήνωρ· καὶ αὐτοὺς Κάδμος πολίτας κατοικίζει ἐν Θήβαις. λέγει δὲ Ἑλλάνικος, ὅτι Κάδμος ὀφείλας τὸ ἡμισυ τῶν εἰπόντων, ἔσπειρε, ἐκ δὲ αὐτῶν πέντε ἄνδρες ἔφυσαν ἐν προσφερθέντες. ὁ δὲ Ἀπολλώνιος λέγει ὅτι καὶ ἄλλοι πολλοὶ ἔφυσαν.

ΔΙΑΤΙ ΚΑΙ ΕΝ ΤΟΥΣ ΝΕΚΡΟΥΣ ΠΑΡΑ ΤΟΙΣ ΠΑΛΑΙΟΙΣ ΕΠΟΙΟΥΝ

Κλάοντες τοὺς νεκρὸς, ὁ δὴ καὶ νῦν ἔτι σῴζομένον παρὰ τῶν Βοιωτῶν βαρβάρων, ὅπως αὐτοῖς ἔλεξαν τότε μὲν θύειν τὸ ἐνθερμὸν ἄνω φερηθεν, ὥσπερ ἐν ἐχέμενη τῷ πυρὶ, ἀναπεμφθεὶς τὴς οὐρανόν· τὸ δὲ γηῖνον κάτω μένειν, τὸ μὴ πυρὶ δαπανηθὲν, τὸ δὲ ἐνασπομένον λειψάνου, ὅπως θε· ὁ δὲ φησιν, ὅτι τὸ μὴ νεκρὸν ὃ καθαρὸν ἔθεσαν· ἡγοῦμαι δὲ τις ἦν, ἡ διὰ πυρὸς δαπάνη τῷ ἐκκαυθέντος, οἷον καὶ τὸ τοὺς ἁγνιστεον· διὸ καὶ οἱ καθαρμοὶ διὰ πυρὸς ἐγίνοντο. καὶ Εὐριπίδης δὲ τοιοῦτόν τι ἐμφαίνει, ὅτι φησιν, ὅτι ἐπὶ τοῦ Κλυταιμνήστρας δέμας πυρὶ καθήγνισαι. ὁ δὲ Λυκόφρων τῇ ἀρχαίᾳ ἐνέδρα ἐπιτρέψων, ἐν ἦσι τὴ Σκύλλας καυθεῖσα ἀπεμοίρα φησιν, ἐγὼ ἀναλεφθεῖσα, ἀναζωσθῆναι, καὶ γενέσθαι καθ' τὸν Ποιητὴν, κακὸν ἀθάνατον. ἔδοξε δὲ τοῦτο, ἢ μὴν ἀληθῶς, τὸν Ἡρακλέα κατηξίου τῆς τοῦ νεκρῶν καύσεως

ΠΕΡΙ ΚΑΙΝΕΩΣ

Καινέα μυθολογοῦσιν πρότερον γεγονυῖαν γυναῖκα· ὥστε Ποσειδῶνος αὐτῇ πλησιάσαντος, μεταβληθῆναι εἰς ἄνδρα· τοῦτο γὰρ ᾔτησε καὶ ἄτρωτον εἶναι. ἔσεσε δὲ Ἀπολλων, καὶ ἐπαινέθη. φησὶ δὲ καὶ Πλάτων περὶ αὐτοῦ, ὅτι παρθένος ἐντυχὼν ποτὲ ἐγένετο τῷ Ποσειδῶνος αὐτῇ συμμιγέντος, ἠτήσατο ἀνὴρ γενέσθαι, καὶ ἄτρωτος μόνον, ὧν ἤθελεν ἔτυχε. λέγεται δὲ καὶ ἀποσφαγῆναι. ἀκόντιον γὰρ, φησιν, ἐν ἀγορᾷ μέσῃ πήξας ἐκέλευε, θεὸν τοῦτο προσέταξεν ἀεὶ ἡμᾶς· ὅθεν ὁ δίκη ποινὴν τῆς ἀσεβείας εἰσπραττομένη, ἐποίησεν ὑπὸ τοὺς Κενταύρους, ὅ

ὀμοῦ τι ἐ ἐλάξας αὐτὸν εἰς γῆν ὤρυσσεν, ἄρρηκτον ἐ ἀκαμπτον ὄντα ὑπὸ γῆν, θνησκόμενον στιβαραῖς κατέγχωσαν ἐλάταις, ὡς φησιν Ἀπολλώνιος· ἐκέλευε δὲ ἐ τοὺς παρόντας ὁμοίως τὸ δόρυ αὐτοῦ ἔνθα ἡ παροιμία, τὶ Καινέως δόρυ τινὲς δὲ φασι Καινέα συναπλεύσαι τοῖς Ἀργοναύταις, ἢ Κόρωνον. ὁ δὲ Ἀπολλώνιος τὰ Πινδάρου ἄλλως λεγόντος, ὁ δὲ χλωροῖς ἐλάταισι τυπεὶς ᾤχετο Καινεύς, σχίσαις ὀρθῷ ποδὶ γᾶν. τοῦτο δὲ αὐτὸ σαφέστα, ὅτι τε μήτε θύειν τοῖς Θεοῖς, μήτε εὔχεσθαι, ἀλλὰ τῷ ἑαυτοῦ δόρατι. διὸ Ζεὺς ἐφορμᾷ αὐτῷ τοὺς Κενταύρους ὡς τινες κατὰ γῆν αὐτὸν ὤθουν.

Τὸ δ' ἀληθὲς οὕτως ἔχει περὶ τοῦ Καινέως· ἦν Θετταλὸς τὸ γένος, ἀγαθὸς ἐ ἀνδρεῖος τὰ πολεμικά, ἐ ἐπιστήμων τοῦ μάχεσθαι. γενόμενος δὲ ἐν πολλαῖς μάχαις, οὐδέποτε ἐτρώθη, καθὰ ἐ ὁ Τελαμῶν Αἴας παρ' Ὁμήρῳ φαίνεται, ὅτε Λαπίθαις συμμαχῶν, πρὸς τοὺς Κενταύρους ἀπέθανεν, ἀλλὰ συλλαβόντες αὐτὸν μόνον, κατέχωσαν, ἐ οὕτως ἐτελεύτησε. ἔλεγον δὲ οἱ Λαπίθαι ἀνελόμενοι τὸ σῶμα αὐτοῦ, ἐ εὑρόντες μὴ τετρωμένον τὸ σῶμα· Καινεὺς τό γε ἄλλος βίος ἄτρωτος ἦν, ἐ ἀπέθανεν ἄτρωτος. λέγεται δὲ ἐ ὅτι κάλλος ἀξιεπαινὸν εἶχεν.

ΔΙΑΤΙ ΤΗΝ ΚΟΜΗΝ ΕΤΡΕΦΟΝ ΟΙ ΕΛΛΗΝΕΣ

Ἔθος ἦν τοὺς Ἀχαιοὺς κόμην τρέφειν, ὡς καὶ ὁ Ποιητὴς καρηκομόωντας λέγει, ἤτοι κομόωντας τὰ κάρηνα, ἐ πολύτριχας, οὐ μόνον εἰς κάλλος, ἀλλὰ ἐ διά τι φοβερὸν ὅπου καὶ λίαν χρεττόνες, φοβερώτεροι τῶν μὴ χαίτην ἐχόντων. λέγονται δὲ, τὸ μὲν ἄλλον πάντα χρόνον κομᾷν οἱ Ἕλληνες, ἐν δὲ τινὶ ἑκάστῳ καιρῷ ἀποκείρεσθαι· ἔν τε καιρῷ ἀκμῆς, ἤτοι ἡλικίας τελείας, τοσαύτη γὰρ πλοκάμων κείραντες, ἀνέθεσαν Ἀπόλλωνι κουροτρόφῳ, ἐ ποταμοῖς, καθάπερ Ὅμηρος ἱστορεῖ ἐ ὡς ἦν ἔθος μάθε ὁ πλόκαμος θρεπτήριον, κατὰ τοὺς Ἀχιλλέα τεθρέφει, ὁ ἥρως. λέγεται δὲ τὴν τιμὴν τῶν θρεπτηρίων πλοκάμων καταρξάσθαι Θησέα· κειράμενος γάρ, φασιν, ἱμερόεσσαν κόμην, εἰς Δῆλον ἀνέθετο τῷ Ἀπόλλωνι. οἱ δέ τινες τῶν Ἑλλήνων οὐκ ἦσαν καρηκομόωντες, παρεσημειώσατο αὐτοὺς ὁ ποιητής, Κουρῆτας αὐτοὺς ὀνομάζων λέγωσι, τοὺς δ' ἀντιθέτως αὐτοῖς, Ἀκερσεκόμας.

ΠΕ-

ΠΕΡΙ ΚΑΡΝΕΩΝ ΕΟΡΤΗΣ ΤΟΥ ΑΠΟΛΛΩΝΟΣ.

ΚΆρνος, μάντις τις ὢν, ὤφθη τοῖς Ἡρακλείδαις, ὥσπερ τινὰ τοῖς μαντευόμενος ὄντως ἐστρατευμένοις τῶν Ἡρακλειδῶν, Ἱππότης τοῦνομα, λόγχῃ βαλὼν ἀπέκτεινε· δι' ὃν λοιμὸς ἐγένετο ἐν τῇ Πελοποννήσῳ, καὶ ἀπελθόντες ἔλαβον χρησμὸν παρὰ Ἀπόλλωνος, Κάρνειον τιμῆσαι Ἀπόλλωνα. καὶ τοῦτο ποιήσαντες, ἐπαύσαντο τοῦ λοιμοῦ. ταύτην δὲ τὴν ἑορτὴν Κάρνεα καλεῖσθαι, καὶ ἐν μετοικήσασιν ἐκ Πελοποννήσου εἰς ἑτέρας πόλεις, διὰ τὸν λοιμὸν ἐπιτελεῖν.

Ἄλλως. Κάρνεα ἑορτὴ Δωρικὴ πλημμέλη Καρνείου Ἀπόλλωνος κατὰ τὴν Πελοπόννησον, ἀπὸ Κάρνου μάντεως, ὃς εἵπετο τοῖς Ἡρακλείδαις· ἀπ' αὐτοῦ δὲ Κάρνειον Ἀπόλλωνα προσαγορεύεσθαι. ἢ δὲ ἱστορία παρὰ Θεοπόμπῳ, ὅτι τινὲς αὐτὸν καὶ Δία καὶ ἡγήτορα καλεῖσθαι Ἀργεῖοι, διὰ τὸ τὸν Κάρνον ἡγήσασθαι τοῦ στρατοῦ, ὅτε οἱ Ἡρακλεῖδαι ἀπέκτειναν ἀπερχόμενοι εἰς Πελοπόννησον, ἐπιβουλεύοντες καταστρατεύσασθαι τοῦ στρατεύματος. ἐν ὑστέρῳ ἐτίμησαν τὸν λοιμὸν φθειρόμενοι. ὁ δὲ Πράξιλλας ἀπὸ Καρνείου φησὶν ὀνομασθῆναι, τοῦ Διὸς καὶ Εὐρώπης υἱοῦ, ὃς ἦν ἐρώμενος τοῦ Ἀπόλλωνος. Ἀλκμαίων δὲ, ἀπὸ Καρνέου τινὸς Τρωϊκοῦ. Δημήτριος δὲ ἀπὸ τοῦ κράνους, ὃ δὴ τελεῖται φησὶ γὰρ, ὡς ὁ Μενέλαος στρατεύων εἰς Ἴλιον, ηὔξατο τιμῆσαι αὐτὸν ἐκ κρανείας. ἄλλοι δὲ φασιν, ὅτε Κάρνεια, ἑορτὴ ἐπὶ Διὸς, Καρνεία ὀνομαζομένη παρ' Ἕλλησι δὲ πλῆθος, διὰ τὸ τὸν Δαίρεον γενέσθαι ἐκ κρανείας τὸ ξύλον.

ΠΕΡΙ ΤΗΣ ΚΑΣΤΑΛΙΑΣ.

ΠΗγὴ ἐν Ἀντιοχείᾳ ἐστὶν· ἐν ᾗ λέγεται τὸν Ἀπόλλωνα παρεδρεύειν, καὶ χρησμοὺς ποιεῖν ἐρχομένοις ἐπὶ τὸ ὕδωρ λέγεσθαι. λέγεται δὲ ὅτι ὁπόταν ἐμαντεύετό τις, ἀρεῖ καὶ ποιεῖ καὶ ἀπλῆν τινα ἔχει, κ φυλλ, ὡς τινὲς λέγουσι, τὸ ὕδωρ ἀπεῖπεν. καὶ ἀναδιδομένου τοῦ τοιούτου πράγματος, ὁ ἐπιμελούμενος τῆς πηγῆς ἱερεὺς εἶπεν τὰ συμβάντα, ἔλεγεν ὃ ἤθελεν ὁ ἐπερωτῶν.

ΠΕΡΙ ΤΟΥ ΚΕΚΡΟΠΟΣ.

ΚΈκροψ βασιλεὺς γέγονεν Ἀθηναίων· ὃς μεγάλως τῆς Ἀττικῆς κατακέκτηται. οὗτος δὲ ἦν ὁ διφυὴς καλούμενος. ἐκαλεῖτο δὲ διφυὴς, ὅτι δύο φωνὰς ἦν ἐπιστάμενος· μίαν μὲν, τὴν τῆς Ἑλλάδος, ἑτέραν δὲ, τὴν τῆς Αἰγύπτου. λέγεται γὰρ ὅτι ἐν Ἀθη-

ταῖοι ἀποικοί εἰσιν Αἰγυπτίων ἀπὸ Σάεως πόλεως. γράμμα δὲ τῆς ἀποικίας γέγονεν ὅτι ὁ Κέκροψ ἐλθὼν εἰς τὴν Ἑλλάδα ἔμαθε τὴν Ἑλλάδα φωνὴν καὶ τὴν Αἰγυπτίαν. ἐλθὼν εἰς τὴν Ἑλλάδα, φωνὴν ἔχει καὶ τὴν Αἰγυπτίαν. ὁ δὲ λόγος ὁ λόγος ἀπήχθη. οὕτως Ἀθηναῖος, μῦθος [illegible] λαβὼν τὸ πλάσμα ἀπὸ τῶν μυθικῶν ἀναθεῖναι, μᾶλλον δὲ ἀναθεῖναι τὴν [illegible] εἰς τὴν Ἀττικήν. λεπτόγεων, γὰρ ἐστιν ἡ χώρα, ἡ τὰ [illegible] ζηλωτὴ καὶ ἄλλως εὐτυχοῦσα.

Καὶ ἄλλως. Κέκροψ ἐλθὼν ἀπὸ Σάεως πόλεως Αἰγύπτου, τὰς Ἀθήνας συνῴκισε. Σάις δὲ, κατ' Αἰγυπτίους, ἡ Ἀθηνᾶ λέγεται, ὥς φησι Χάραξ. διμορφος δὲ λέγεται, καὶ διφυὴς γεγονέναι ὁ Κέκροψ, διὰ τὸ ὑπὲρ ἀνδρῶν φωνὴν καὶ μέγεθος ἔχειν· ἢ διὰ τὸ δύο φωνὰς ἐπίστασθαι, Αἰγυπτίαν καὶ Ἑλληνίδα· ἢ, ὡς λέγουσι, τὰ ἄνω ἀνθρώπου, τὰ δὲ κάτω δράκοντος ἔχειν. ὅπερ ἀλληγορῶν Δημοσθένης, ὅτι κατὰ ἡλικίαν ὅμοιος τῷ δράκοντι, ἀνθρώπῳ δέ γε τὴν φρόνησιν. ἄλλοι δὲ τοῦτο πάλιν ἀλληγοροῦντες λέγουσιν ὅτι ἀγαθὸς βασιλεὺς γεγονὼς, πάσας θηριώδεις ἐθάδας [illegible], ὡς μίαν συμφωνίαν πάντας ἔχειν αὐτοῦ, καὶ ἀγαθὸν ἡγεμόνα καὶ αὐτοκράτορα. διὰ τοῦτο γὰρ λέγουσιν αὐτὸν διφυῆ, ὡς ἔοικεν ἐν Ἀττικῇ, ὅτι πρότερον αἱ κατὰ Ἑλλάδα γυναῖκες θηριωδῶς, ὥσπερ τὰ ἄλογα, καὶ ἡ κατὰ συζυγίαν ἐμίγνυντο· ὁ γὰρ παῖς, τὴν μητέρα τοῦ πατρὸς [illegible] μητέρα γὰρ μόνον, πατέρα δὲ οὐκ ἐγίνωσκον. βασιλεὺς δὲ Κέκροψ τῆς Ἀττικῆς κατέπαυσε τὸ θηριῶδες τῆς μίξεως, καὶ ἀνδράσι νομίμως ἐποίησε τὰς γυναῖκας συνοικεῖσθαι. ἐπεὶ γὰρ ἐκ τούτου ὁ παῖς, πατέρα καὶ μητέρα ἐγνώριζε, τῆς αἰτίας αὐτῷ τῆς γνώσεως, διὰ τὸ γεγενῆσθαι αὐτοῖς, διφυὴς ὁ Κέκροψ ἐκλήθη, ὡς τοῦτο ποιήσας αὐτοῖς.

Ἄλλως. Κέκροψ, Αἰγύπτιος ὢν τὸ γένος, ᾤκισε τὰς Ἀθήνας· οὗτοι οἱ Ἀθηναῖοι Κεκροπίδαι. τοῦτον δέ φασιν ἴσως καὶ διφυῆ κληθῆναι ἐν μύθῳ, ὅτι τὰ ἄνω ἀνθρώπου εἶχε, τὰ δὲ κάτω, δράκοντος· ἄλλοι δὲ, ὅτι νόμους πολλοὺς ἔταξε τοῖς ἀνθρώποις, καὶ ἀπὸ ἀγριότητος εἰς ἡμερότητα ἤγαγεν. ἄλλοι δὲ, ὅτι τῶν ἀνδρῶν ὡς ἔτυχε μισγομένων ταῖς γυναιξὶ, καὶ ἐκ τούτου μὴ γινωσκομένων, ἢ τὰ παιδὸς αὐτῷ τοῦ πατρὸς, ἢ πατρὸς αὐτῷ τὰ παιδὸς, αὐτὸς νόμους ἔθηκεν, ὥστε φανερῶς συγγίνεσθαι αὐταῖς, καὶ μιᾷ συνεῖναι, καὶ σχεδὸν εὑρεῖν τὰς δύο φύσεις τοῦ τε πατρὸς καὶ τῆς μητρὸς, τοῦτο χάριν διφυὴς ἐκλήθη. εἰσί τινες, οἵ φασι τὸν Κέ-

κρο-

τα δισσὰ γεγονέναι, καὶ τὰ κατὰ ὄψεις ἐγχελεῖς· καὶ διὰ τοῦτο ὡς τέρατα κεκρατῆσθαι. καὶ περὶ μὲν Κέκροπος ἅλις εἰρήσθω· δὲ περὶ τῆς Κελαδεινῆς Ἀρτέμιδος, μηδὲ περὶ τούτου λέξομεν τὸ περὶ Ἀρτέμιδος.

ΔΙΑΤΙ ΚΕΛΑΔΕΙΝΗ Η ΑΡΤΕΜΙΣ ΛΕΓΕΤΑΙ

Κελαδεινὴ Ἄρτεμις λέγεται, ὡς αἰτία τοῦ ἐν κυνηγεσίοις κελάδου, καὶ ἡ καλὰ δόνακα ἔχουσα, τουτέστι βέλη· ἢ ὅτι ἐγκελεύσασα τινὰ τὸν Ὠρίωνα ἀνεῖλε διαζωσθεῖσα αὐτόν· ἢ διὰ τοὺς κελάδους, ὅτι θορυβῶς ὡς ἡ μὲν μυθικὴ Ἄρτεμις κυνηγετοῦσα· ἡ δὲ ἀλληγορουμένη αὔξουσα καὶ φθίνουσα σελήνη γὰρ πάθη ἢ αὐξομένη, ὅτι κέλαδοι ὡς ἐπὶ πολὺ περὶ αὐτὴν γίνονται.

ΠΕΡΙ ΚΕΝΤΑΥΡΩΝ

Κενταύρους ἐκ δύο φύσεων ἡρμοσμένους, ὁ τῆς ἱστορίας μυθολογεῖ γεγονέναι· τὰ μὲν κάτω ἵππους ὥσπερ ἔχειν, καὶ τὰ ἄνω ἀνθρώπους τῇ δ' ἐπιφανείᾳ, ἀνθρώπους, καὶ τὸ ὅλον σῶμα ἵππων τὰς κεφαλὰς, καὶ ἀνθρώπους ἔπειδεν· ὅθεν καὶ αὐτοῖς ἐκεῖνο εἴρηται, ὅτε δηλαδὴ ἐν τῷ τῶν ὑποκειμένων φύσιν, ἵππος μὲν ὑπομένεται ἄνδρα, ζῶντος δὲ ὑποτίθεται ἔκπτωμα· ἡ δ' ἀλήθεια τοιαύτη ὥστε ἔχει κατὰ τὴν ἱστορίαν. Ἰξίονος βασιλεύοντος Θετταλίας, ἐν τῷ Πηλίῳ ὄρει, ἀπηγριώθη ταύρων ἀγέλη, καὶ τὰ λοιπὰ τῶν ὀρῶν ἄβατα ἐποίει· εἰς γὰρ τὰ οἰκούμενα κατιόντες οἱ ταῦροι, ἐσίνοντο τὰ δένδρα καὶ τοὺς καρποὺς, καὶ τὰ ὑποζύγια διέφθειρον. ἐκήρυξε δὲ ὁ Ἰξίων, ὡς εἴ τις ἐξελάσει τοὺς ταύρους, δώσειν χρήματα παμπολλά. νεανίσκοι δέ τινες ἐκ τῆς ὑπωρείας, ἐκ κώμης τινὸς καλουμένης Νεφέλης, ἐπινοοῦσιν ἵππους κέλητας διδάσκεσθαι· πρότερον γὰρ οὐκ ἠπίσταντο ἐφ' ἵππων ὀχεῖσθαι, ἀλλὰ μόνον ἅρμασιν ἐχρῶντο. οὗτοι δ' ἀναβαίνοντες τοὺς κέλητας, ἤλαυνον ἔνθα οἱ ταῦροι ἦσαν, καὶ ἐπεισβάλλοντες τῇ ἀγέλῃ, ἠκόντιζον· καὶ ὅτε μὲν ἐδιώκοντο ὑπὸ τῶν ταύρων, ἀπέφυγον οἱ νεανίαι· ποδωκέστεροι γὰρ ἦσαν οἱ ἵπποι· ὅτε δὲ ἔστησαν οἱ ταῦροι, ὑποστρέφοντες ἠκόντιζον· καὶ τοῦτον τὸν τρόπον ἀνεῖλον αὐτούς. καὶ τὸ μὲν ὄνομα ἐντεῦθεν ἔλαβον οἱ Κένταυροι, ὅτι τοὺς ταύρους κατεκέντησαν· οὐδὲν γὰρ ἀπέχει ταύρων ἡ τῶν Κενταύρων, ἀλλ' ἵππων ἰδέα ἐστὶν ἀπὸ ἔργου λαβόντες· οὗτοι δὲ οἱ Κένταυροι χρήματα λαβόντες, καὶ γαυρώσαντες ἐπὶ τῇ πράξει καὶ τῷ πλούτῳ, ὑβρισταὶ καὶ ὑπερήφανοι, καὶ πολλὰ κακὰ εἰργάζοντο,

καὶ δὲ ἐν κατ' αὐτῇ Ἥβοντες, ὅς οὐκ ἐπὶ τῶν καλουμένων Λαπιθῶν σώματα πόλιν. οἱ δὲ τότε τῷ τῶν χωρίῳ ὄντες, Λαπίθαι ἐκαλοῦντο. καλοῦμενοι δὲ οἱ Κένταυροι παρὰ τῶν Λαπιθῶν ἐπὶ θοίνην, μεθυσθέντες, ἁρπάζουσι τὰς γυναῖκας αὐτῶν, καὶ ἀναβάντες ἐπὶ τοὺς ἵππους αὐτάς, ᾤχοντο φεύγοντες εἰς τὴν ἑαυτῶν· ὅθεν ὁρμώμενοι ἐπολέμουν τοῖς Λαπίθαις, καὶ καταβαίνοντες νύκτωρ εἰς τὰ πεδία, ἐνέδρας ἐποίουν ἡμέρας δὲ ἁρπάσαντες, ἀπεχώρουν ἀνατρέχοντες ἐπὶ τὰ ὄρη. οὕτω δ' ἀποχωρούντων αὐτῶν, ἵππων οὐρὰς καὶ ἀνθρώπων κεφαλὰς μόνον ἐφαίνοντο. ξένην δὲ ὁρῶντες θέαν, ἔλεγον· οἱ Κένταυροι ἡμᾶς, κατατρέχοντες ἐκ Νεφέλης, πολλὰ κακὰ ἐργάζονται. ἀπὸ δὴ ταύτης τῆς ἰδέας τοῦ λόγου, ὁ μῦθος ἀπίστως ἐπλάσθη, ὡς ἐκ τῆς Νεφέλης ἵππος τε καὶ ἀνὴρ ἐγένοντο ἐν τῷ ὄρει.

ΠΕΡΙ ΤΟΥ ΚΕΡΑΤΟΣ ΤΗΣ ΑΜΑΛΘΕΙΑΣ

Κέρας τὸ Ἀμαλθείας τὸ τῆς μυθικῆς αἰγὸς τῆς θρεψάσης τὸν αἰγίοχον Δία εἶναί φασιν ὃ ὁ θεῖος τοῦτο ἔχει Ἡρακλῆς, ἐγίνετο αὐτῷ ὅσα ἐβούλετο. ἄλλοι δὲ φασιν ὡς Ἀχελῴου κλασθὲν τὸ ἕτερον κέρας ὑφ' Ἡρακλέους, τὸ τῆς Ἀμαλθείας κέρας καλοῦσιν, δι' οὗ πᾶν ἀγαθὸν ἐγίγνετο τῷ χρήζοντι. τὸ δὲ ἐν τῷ μύθῳ θεραπεύεται πρὸς ἀλήθειαν συμβιβάζοντι· ποταμός τε πᾶσιν ἀδύνατος. Ἡρακλῆς εὐεργετεῖν εἰδώς, τὸ τότε γῆς, ὅτι ἐν τῷ ποταμῷ τούτῳ μᾶλλον πλημμυροῦντι ἐν ταῖς χαμαιαῖς πεδίοις τῆς Αἰτωλικῆς περιτετραμμένον, καὶ πολλοὺς ἀδικοῦντα, περιεγνωμένον τινὶ ἐν διώρυξι, καὶ διοχετεύσας ἰθύνας ἐν περιστρέψας ἐν ῥεῖν συνέχοντα, ποιήσας, ἀνεψύξε τὴν γῆν, καὶ εἰς ἀγαθὸν τοῖς εὐχρηστίαν μετήγαγε, καὶ τὸ τῆς χώρας ἑκατέρωθεν κέρας τοῦ ποταμοῦ, τὸ ἄτακτον χαμαιλέχης, τό, ὡς ἐστίν, ἀπέραντον καὶ πελάγιον τοῖς ἐκεῖ, ὡς μόλις ἕως κατεσκεύαστο δεξιότητι. ἐν ταύτῃ δὲ ἤδη τε κέρας τὸ Ἀχελῴου, τό, τε κλασθέν, τὸ κατεπαυσθέν, ἐν τῷ πλήσαντι καὶ καταλυθέν, δι' οὗ καὶ Ἡρακλῆς εὐεργέτης ἐγένετο. τὰς γὰρ τοῦ ποταμοῦ ῥεῖθρον χαμαίας, κέρατα ἐκάλει ἐν παλαιοῖς. ἐν διὰ τοῦτο παρακελεύεται ἐν κερατοφόρον ἐπίδειν αὐτόν.

Ἄλλοι δὲ πάλιν φασὶν ὅτι Ἡρακλῆς ἀποδημῶν μετὰ Βοιωτίας μετὰ Ἰολάου τοῦ ἀδελφιδοῦ, κατέλυσεν ἐν Θεσπιεῦσιν, ἐν τινι τῷ χωρίῳ ἐν ᾧ ἦν τις γυνὴ καλουμένη Ἀμάλθεια, ὡραία καὶ καλή· ὁ δὲ Ἡρακλῆς ἡσθεὶς αὐτῇ, πλείονα χρόνον ἐξέτεινε. Ἰόλ-

δὲ βαρέως φέρων, ἐποιεῖ τὸ ἐμπολὰς τ̓ Ἀμαλθείας ἐν κέρατι κειμένω, ἀπώλεσθαι ἐξ ἧς ἐμπολῆς, ὅ τι ἤθελεν, ὠνεῖτο τῷ Ἡρακλεῖ. ἔλεγον ἐν διὰ τοῦτο οἱ συνήθεις, Ἡρακλῆς τὸ κέρας ἔχει τ̓ Ἀμαλθείας, ἐξ ὧ ὠνεῖται ὅσα βούλοιτο ἐπ̓ αὐτῷ ἐξ ὧ ὁ μῦθος προσανεπλάσθη. οἱ δὲ, ὡς ἐκεῖ ἡ ὡραία τῶν Ἀμαλθεία ζήλοντες ἠρέσθαι, ἀλλὰ γραῦν κεκλεῖσθαι, κ̓ ἐμπορίαν, τὸ πολὺ τῆς ἐμπολῆς ἐντιθεῖσαν κέρατι, ὃ δια τοῦτο Ἀμαλθείας κέρας ἐνομίζετο, πλούσιον κ̓ βαρύπλουτον. ἐπεὶ γ̓ ὁ Ἡρακλῆς ἀπολαμβάνει αὐτὸ πλεῖον, τῷ ἐγκειμένῳ κέρματι, καὶ χρησάμενος ἔχειν πρὸς τροφήν, λόγος ἐντεῦθεν διεδόθη τοιοῦτος, ὡς ἄρα τῷ Ἡρακλεῖ τὸ τῆς Ἀμαλθείας κέρας ἐκβλύζει πᾶν ἀγαθὸν ὁ τῆ μυθικῆς αἰγος, ἀλλὰ τὸ τῆ μυθούσης γραός, ἄλλος δὲ τις λόγος διαθέσει τι χρυσίου πέμφοιτο, ἐοικὸς βοὸς κέρατι κ̓ τὸ σχῆμα ἐκτίθεται, ὃ ὡς κτῆμα γυναικί τινι Ἀμαλθείᾳ ἔδωκε ὅπερ διὰ τὸ καρπὸν πάντας ὡς πολυπλασίονα δοτέον ἦ), ὁ μῦθος, ὡς, βίαιοι κέρα, μεταλαβὼν, τὸ θρυλλούμενα ἀπὸ αὐτῷ ἔδωκε ὁ δὲ τι ἀξιοπλαστον ἀγαθὸν τὸ τιμίω κέρατι ὃ ὁ Ἡρακλῆς, ὅτι ὡς λαβεῖν ἐπεδήμησε, λέγοιτο δὲ ὅτι μετεῖναι τῷ Ἡρακλεῖ τὸ τ̓ Ἀμαλθείας κέρατος.

ΠΕΡΙ ΤΟΥ ΚΕΡΒΕΡΟΥ

ΜΥθεύεται ὅτι ἔστι τις κύων ἔχων τρεῖς κεφαλὰς, ὃς καλεῖται τρίκαρηνος, ἐν τῷ Ἅδη ὁ τ̓ κλῆσιν Ὅμηρος μὲν σιγᾷ, οἱ δ̓ νεώτεροι Κέρβερον αὐτὸν καλοῦσι κ̓ περιπλάττουσιν αὐτῷ δράκοντας, ἐπὶ δὲ νῶτα προσφύοντο ὄφεων κεφαλὰς οὗτος, φασι, φυλάττει τὰς πύλας τῷ Ἅιδη κ̓ ἵνα μὴ κατιβαίνοντες ἐς τὸν Ἅδην, σαίνει ὃ ὑλακτεῖ, τοὺς δ̓ ἀπιόντας δάκνει, κ̓ ἐκ τῆ ἀνελθεῖν φασὶν ἐν ὅτε ὁ Ἡρακλῆς, ὅτι κατῆλθε συμπράξαι τῷ Πειρίθῳ τ̓ Περσεφόνην, ἀνὰ ἀνήγαγε τ̓ τρίκαρηνον Κέρβερον οἱ δὲ, ὅτι ἀπήγαγε ζῶντα, ὃ τῷ Εὐρυσθεῖ ἔδειξεν ἵνα φασιν ἐν τῷ Ἡρακλέους ἄθλων μέγιστον, ὃς ἐν μονὴ κ̓ ἔτυχεν ὅλω ἐκείνω ἐποίησεν ὃ ταῦτα μὲν ὁ μῦθος, οἱ δ̓ ἱστορίας λέγουσιν, ἔφυγεν ἐν κάτω τὸν Κέρβερον Ἀιδωνέως Θρακῶν ζητεῖν. ἔνθα πέλεται τ̓ Ἡρακλέα ὑπὸ Εὐρυσθέως, ἀνεκομίσατο τὸ κυνός, κ̓ τὸ μῦθον ἐντεῦθεν πλασθῆναι, διὰ τ̓ Ἀΐδωνα τ̓ Θρᾷκα τῷ ὑπὸ γῆν Ἅδη ὁμώνυμον. οἱ δὲ φασιν ὅτι Γηρυόνη ἐν Τρικαρηνίᾳ πόλει τῷ Εὐξείνω πόντω διάγοντι ἐπὶ ταῖς βουσὶ ἦσαν κύνες μεγάλοι τε ὃ ἐνεργοί. ὧν ὁ

μὲν

μὲν Κέρβερος τετρακέφαλος, ὁ δὲ, Ὄρθος. τὸν μὲν οὖν Ὄρθον Ἡρακλῆς ἐν Τρικαρηνίᾳ, περιελαύνων τὰς βοῦς, ἀνεῖλεν· ὁ δὲ Κέρβερος συνηκολούθει ταῖς βουσίν. ἐπιθυμήσας δέ τις τοῦ κυνὸς ἀνὴρ Μυκηναῖος, τοὔνομα Μολοττός, τὸ μὲν πρῶτον ᾔτει τὸν Εὐρυσθέα ἀποδόσθαι τὸν κύνα· οὐ βουλομένου δὲ τοῦ Εὐρυσθέως, ἀναπείθει τοὺς βουκόλους, καὶ τὸν κύνα κατακρύπτουσιν ἐν τῇ Λακωνικῇ ἐπὶ Ταινάρῳ ἐν σπηλαίῳ τινὶ, καὶ ἀφιᾶσιν αὐτῷ κύνας θηλείας συμβαίνειν. Εὐρυσθεὺς δὲ, πέμπει Ἡρακλέα ἐπὶ ζήτησιν τοῦ κυνός. ὁ δὲ πᾶσαν περιελθὼν τὴν Πελοπόννησον, ἦλθεν ὅπου ὁ κύων αὐτῷ ἐμηνύθη εἶναι, καὶ καταβὰς, ἀνάγει ἐκ τοῦ ἄντρου τὸν κύνα. ἔλεγον οὖν οἱ πάντες, ὅτι διὰ τοῦ ἄντρου καταβὰς εἰς Ἅδου ὁ Ἡρακλῆς, ἀνήγαγε τὸν κύνα. ἡ δὲ ἀλληγορία εἰς μῦθον οὕτως ἐκτεθεῖσα, ἢ ἄλλο τι τοιοῦτον κακὸν, οὐδὲ τὴν χεῖρα βαρύνει, ὃ δὴ τὴν ψυχὴν· ὃν δὴ Κέρβερον περιεγένετο Ἡρακλῆς, ὁ εἰς τὸν λόγον ἀναγόμενος.

ΠΕΡΙ ΤΩΝ ΚΕΡΑΜΙΚΩΝ

Κεραμικοὶ τόποι δύο τινές εἰσιν Ἀθήνῃσιν ὑπὸ καλούμενοι· ὁ μὲν, ἔνδον τῆς πόλεως, ὁ δὲ, ἔξω· ἔνθα καὶ τοὺς ἐν πολέμῳ τελευτήσαντας ἔθαπτον δημοσίᾳ, καὶ τοὺς ἐπιταφίους ἔλεγον. ἦσαν δὲ ἔνθεν καὶ ἔνθεν στῆλαι ἐπὶ τοῖς δημοσίᾳ τεθαμμένοις, ἔχουσαι ἐπιγραφὰς, πῶς ἕκαστος τέθαπται. ἐν δὲ τῷ ἔσω ἦσαν καὶ προεστῶσαι αἱ πόρναι. οἱ δὲ, Κεραμικὸν φασὶ τινα Ἀθηναίων, ἀπὸ θεῶν τι ἀγάλματα εἰργάσθαι.

ΠΕΡΙ ΤΟΥ ΚΕΡΔΩΟΥ ΘΕΟΥ

Κερδῷον θεὸν καλοῦσι τὸν Ἑρμῆν οἱ Ἕλληνες, ὡς κέρδους ἐπιστάτην καὶ ἔφορον. διὸ καὶ μαρτύριον αὐτὸν ἐσεβάζοντο, ὡς καὶ ἔφορον τῆς εὑρέσεως. ὅθεν καὶ Ἀριστοφάνης ἐν Πλούτῳ, ἀπορῶν τινα διὰ καλέσαι τὸν Ἑρμῆν, φησὶν ἐμπολαῖον αὐτὸν ὀνομαζόμεθα, τουτέστι, κέρδους ἔφορον.

ΠΕΡΙ ΤΟΥ ΚΗΤΟΥΣ ΤΟΥ ΤΡΩΙΚΟΥ

Περὶ τοῦ Τρωϊκοῦ κήτους μυθεύεται ὅτι τοῖς Τρωσὶν ἐκ τῆς θαλάττης ἐφοίτα. καὶ εἰ μὲν αὐτῷ δοῖεν κόρας, ἀπῄει· εἰ δ' οὖν, τὴν χώραν αὐτῶν ἐλυμαίνετο. ὡς δὲ μάταιον, τὸ ἀνδρας ἐκτιθέναι τὰς ἑαυτῶν θυγατέρας, τίς ἂν ἄλλος, ἀλλ' ἦν τις βασιλεὺς μέγας, καὶ πολλὴν ἔχων δύναμιν, καὶ ναυτικὸν πολ-

λύ,

λὺ, ὃν κατέστρεψε τι ϖρῶτον θαλάσσιον τῆς Ἀσίας ἰλυ, ὃ Τρῶες εκτῶντο. ἴδιον δὲ φασι, ως τινες δεσμοι καλῶσι ἀργοέσεις μὴ ἦν ἐν τούτῳ ἄνθρωποι ἐκ γειτόνων, ἀλλὰ σκύνοις. ϖροσέταξε δὲ ὁ βασιλεὺς, ᾧ ὄνομα Κῆτος, τῶν πολιων, τινας μὲν ἵππους, δέλφινας, τινας δὲ κόρας, τῳ δὲ βασιλέα, ᾧ ὄνομα Κῆτος, ὡς Βαρβαροι εκαλουν Κῆτος. ϖαρεσχεθῆναι δὲ ὁ Κῆτος κϚ' τω δόντοι χρόνον, ἀπαιτῶν τὸν δασμὸν· τῶν δὲ μὴ ἀποδιδόντων, ἐκάκε τας χώρας, ἐξήρχοντας δὲ τας Τρώων, καθ' ὃν χρόνον ὁ Ἡρακλῆς ἔπεσεν, ἔχων στρατὸν τῶν Ἑλλήνων, μισθῶται δὲ τὸν Ἡρακλέα Λαομέδων ὁ βασιλεὺς, ἀρῆξαι τοὺς Τρῶας. ἀποδιδόντος δὲ τὸ στρατοῦ ὁ Κῆτος, ἐδιώκετο· ϖαραστήσαντος δ' αὐτῷ Ἡρακλῆς, καὶ Λαομέδων, ἀναιρεῖται αὐτὸν ὃ γέγονεν, ὁ μῦθος ϖροσανεπλάσθη.

ΠΕΡΙ ΤΩΝ ΚΟΛΑΣΕΩΝ ΤΩΝ ΠΑΡ' ΕΛΛΗΣΙ ΔΟΞΑΖΟΜΕΝΩΝ

ΟΙ παλαιοὶ ὃ ϖαρὰ ζήλοντας τῇ κολαστήρια, ἔνθα αἱ τῶν ἁμαρτανόντων ψυχαὶ κολάζονται· ὡς ἔστι κὴ Πλάτων ἐν τῷ Φαίδωνι λέγων ϖερὶ τῶν λήξεων ὃ τῶν ἀποκληρώσεων τῶν ψυχῶν λέγει, ὅτι αἱ ἀδίκως βεβιωκότες κολάζονται ἐν τῷ Κωκυτῷ, ὃ ἐν τῷ Πυριφλεγέθοντι, καὶ ἐν τῷ Ταρτάρῳ· ποταμοὶ δὲ ἔστι οὗτοι· ὁ μὲν Κωκυτὸς ψυχρότατος· ὁ δὲ Πυριφλεγέθων θερμότατος· ὁ Τάρταρος μέσος τις τόπος τῶ παντὸς ἐν ᾧ ἀίμνηστι ὕδωρ ὑπάρχον, ὃ κατώτατον, ἄχρι τῶ πέρατος τῶ παντὸς σκοτεινός τι ὃ ἀσυγκλείς· κὴ ὅτι ἐν τούτῳ τῶ τόπῳ κολάζονται οἱ ἄδικοι· ἡ δὲ Ἀχέρων ὃ αὐτοῖς μέσος τις ὤν, καθαρτήριον ἔοικε, καὶ οὐχὶ κολαστήριον· ῥύπτων κὴ σμήχων τα τῶν ἀνθρώπων ἁμαρτήματα.

ΠΕΡΙ ΤΟΥ ΚΟΛΟΙΟΥ ΚΑΙ ΤΩΝ ΠΤΕΡΩΝ ΑΥΤΟΥ

ΚΡίνειν ἦν, ὡς φασι, ϖερὶ κάλλους ὀρνίθων, ὃ ὁ Ζεὺς δοκιμαστὴς ὑπῆρχε τῆς κρίσεως. ἧ δὲ ὡρισθείσα ἡμέρα, ἐν ᾗ ἔδει συναυλισθῆναι τα ὄρνεα ϖαρὰ τὸν Δία. τῇ ϖροτέρᾳ δὲ τῆς ὡρισθείσης ἡμέρας, ϖαρὰ τινι ποταμῷ φοιτήσαντα τα ὄρνεα, τοῖς ῥεύμασιν ἀπονίζοντο τα πτερά, ἵνα τὸ συνεχὲς ἑκάστῳ διαλάμψῃ κάλλος· ὁ δὲ κολοιὸς, (ἔστι δὲ τοῦτο ὄρνεον, ἣν μάλα μικρὸν μεν τῷ σώματι, ακαλλὲς δὲ τὸ εἶδος) τῶν εκπιπτόντων ϖαρὰ τοῖς ὕδασι πτερῶν ἀθροίσας ἑαυτῷ, ἧκε ὃ αὐτὸς ϖαρὰ τὸν Δία, ὡς ληψόμενος τῶ κάλλους τα νικητήρια. ἤδη μὲν ὃ ὧδε πλάσαντος,

καὶ

καὶ ἀποσκευάσαντες τὰ ἀλλόφυλα τῆς πηγῆς, γυμνὸν ἐφάνη τὸ ἀλληγορεῖν. ἔχων δὲ τὴν ἐν φύσει αὐτῷ ἀξιωματικὴν ἐμφαίνει, ὅτι τῆς αἰσχύνης ἀπήλλακται.

ΠΕΡΙ ΚΟΤΤΟΥ ΚΑΙ ΒΡΙΑΡΕΩΣ.

Κόττος καὶ Βριάρεως, ἄνδρες ὄντες, μυθεύονται ὡς ἑκατὸν χεῖρας ἔχειν, οἱ μετὰ τῶν Θεῶν ἐπολέμησαν πρὸς τοὺς Γίγαντας. τὸ δ' ἀληθὲς οὕτως ἔχει. τῇ πόλει τὸ ὄνομα Ἑκατοντοχειρία ἐν ᾗ ᾤκουν. ὅθεν ἡ πόλις τὴν νῦν καλουμένην Ὀρεστιάδος ἐκάλεσεν οἱ ἄνθρωποι Κόττος καὶ Βριάρεως οἱ ἑκατοντοχεῖρες, βοηθήσαντες τοῖς Θεοῖς, αὐτοὶ ἐξήλασαν τοὺς Γίγαντας ἐκ τοῦ Ὀλύμπου.

ΠΕΡΙ ΤΟΥ ΚΡΟΝΟΥ.

Κατὰ τὸν μῦθον, ὡς εἴρηται, ὁ Οὐρανὸς γίνεται Κρόνου πατήρ. ὁ Κρόνος δὲ μετ' ἐπιβουλῆς ἡλικίας αὐτοῦ ἤπειξε, λαβὼν δρέπανον, ἐξέτεμε τὰ αἰδοῖα τοῦ πατρὸς, καὶ ἔρριψεν αὐτὰ εἰς τὴν θάλασσαν· ἐκ τῆς ἀφροῦ γενομένης, ἐγεννήθη ἡ Ἀφροδίτη· ὅθεν καὶ Ἀφροδίτη ὠνομάσθη ἐκ τοῦ ἀφροῦ. λέγεται δὲ πρὸς τούτοις ὁ Κρόνος πρῶτον μὲν καταπίνειν τὰ ἐκ τῆς αὐτοῦ γαμετῆς Ῥέας γεννώμενα αὐτῷ τέκνα· διὸ καὶ παιδοφάγον αὐτὸν καλοῦσιν. ὁ δὲ τῶν μύθων θεραπευτὴς ἐν θεολόγοις τῶν Ἑλλήνων ἀλληγορῶν, φασὶν, ὅτι ἀλλήγοροι μὲν οἱ ὅσα περὶ τούτων εἰκότως, ὅτι ὅσα ἂν γίνηται κατὰ τὸν τῆς κινήσεως λόγον, πάλιν κατὰ τὸν αὐτὸν ἀνάλυσιν ἀφανίζεται. καὶ ὁ χρόνος δὲ πάντα ὅσα δαπανᾷ· γὰρ ὑπ' αὐτοῦ τὰ γενόμενα. εἶτα τὴν Ῥέαν φασὶ, γενομένην αὐτῇ τὸν Δία, λίθον ἀντ' αὐτοῦ προσενεγκεῖν ἐσπαργανωμένον τῷ Κρόνῳ, τὸν δὲ τοῦτον καταπιεῖν· ἐκεῖνον μὲν καταποθῆναι ὑπ' αὐτοῦ τὸν δὲ Δία τραφέντα, βασιλεῦσαι τοῦ κόσμου. ἐνταῦθα δὲ ἄλλως ἀλληγορεῖ ἡ κατάστασις συμπεπηκται γάρ, φασὶν, ὁ μῦθος περὶ τῆς τοῦ κόσμου γενέσεως, ἐν ᾧ τὴν ἀνατροφὴν ἡ δυνάμις αὐτοῦ φύσις ἐπικράτησεν, ὅτι εἰς τὸ μεταίτιον αὐτῷ ὁ λίθος ἦν, ὡς καλύψαι γῆν, ὥσπερ καταποθεὶς, ἐγκατηνέχθη. οὐ γὰρ ἂν ἄλλως συμβῆναι τὰ ὄντα, εἰ μὴ ἐπὶ θεμελίῳ τούτῳ ἐρείδοιτο, γεννώμενα καὶ τρεφόμενα ἐνταῦθα πάντα. πῶς δὲ ὁ Κρόνος ἐκτέμνεται συνεχῶς χάσκων ἐπὶ τὸ μέγεθος τῆς γῆς, τοῦτο δὲ ἐκτεμών, καὶ παύσας τῆς ὕβρεως· ὁ μὲν γὰρ Ζεὺς ἐκβαλὼν αὐτὸν τῆς βασιλείας, κατεταρτάρωσε. διὰ γὰρ τούτων αἰνίττονται, ὅτι ἡ τῆς ἄλλης γε-

ημέσεως τάξει ἐν ὥραις ἀπὸ τῶν κρείσσων, Κρόνον εἰρῆσθαι, τὸν γενομένων πως πολλὴν ῥύσιν τὸ περιέχοντος ἐπὶ τὴν γῆν ἐνεῖλε, λεπτοτέρας ποιήσαντα τὰς ἀναθυμιάσεις. ἡ δὲ τῶ κόσμε φύσις ἐπιχύσεις ἐπιχέουσα, ὃν ᾗ Δία λέγουσι καλεῖσθαι, τὸ λίαν φερόμενον τῆς μεταβολῆς ἐπέσχε, ᾗ ἐπειδήπερ μακρότερον διεξήγαγεν, ᾗ διὰ αὐτὸ τῶ κόσμε πάνυ δ' εἰκότως ᾗ ἀγκυλομήτην φασὶ καλεῖσθαι τὸν Κρόνον, ἀγκύλων ὄντων ᾗ δυσπαρακολουθήτων, ἃ μὴ πλείσται ποσάκις ἀριθμοῖς ἐλελίττοιν.

Η δὲ ἱστορία Κρόνον βασιλέα Κρήτης οἶδε, ὁμοίως ᾗ Δία τὸν ᾗ Ἀστερίου νομοθέτην Κρητῶν ᾗ ἄλλων Ἑλλήνων ὄντα. ἀλλ' ὁ μὲν Κρόνος ἐξωσθεὶς ὑπὸ τε υἱῶν τῶ Διὸς, εἰς Ἰταλίαν ἀφικνεῖτο, βασιλεύς τε γενέσθαι Λατίνων, νόμους θεῖς αὐτοῖς ᾗ γεωργίαν διδάξας, ὃν ᾗ ὡς θεὸν ἀποθεώσαντες ἐτίμησαν. ᾗ ἀλληγορήσαντες φασιν, ὅτι ἡ νοερὰ ζωή. δηλ ἔστιν, χόρος ὢν τῶ νῶ μάλλον δὲ κόρος νῶ ᾗ καθαρός. πάντες γὰρ οἱ νοερὰ ζῶντες, κρονίαν ἔχουσι πολιτείαν φασίν. ὅθεν καὶ βασιλεὺς αὐτῶν ὁ Κρόνος λέγεται. ὃς ἐν τῷ κρᾶν ᾗ κορεῖν ἐκεῖνα τῶν χρεθλημάτων φησὶ, ᾗ μίξαντα τὸ θῆλυ τῷ ἄρρενι. Χρύσιππος δέ φησι, καθύγρον ὄντων τῶν ὅλων, ᾗ ὄμβρων καταφερομένων πολλοὺς, τὴν ἔκκρισιν τούτων, Κρόνον ὠνομάσθαι.

ΠΕΡΙ ΚΑΛΛΙΣΤΟΥΣ

ΚΑλλιστώ, τὴν Λυκάονος, χόλῳ Ἥρας διὰ τὸν Διὸς ἔρωτα, μεταπεσοῦσαν εἰς ἄρκτον λέγουσι ᾗ τοξευθῆναι μὲν ὑπὸ Ἀρτέμιδος, ἀναχθῆναι δὲ εἰς ἀστέρα ὑπὸ τῶ Διός. ὅπερ δὲ, ᾗ τῆς ἄρκτου ὁ μῦθος κατὰ ζωοποιΐαν τι τῆς Καλλιστοῦς ἀνάκειτο ἀστροθέτημα, ὁ δὲ Ὠρίων κυνηγέτης ὑπόκειται, χαριέντως οὕτω ὁ Ὅμηρος φησὶν,

Ἥ τ' αὐτῶ στρέφεται, καί τ' Ὠρίωνα δοκεύει

ἀληθῶς μὲν, διότι τὴν αὐτὸν ἡ ἄρκτος τῶ Ὠρίωνι ποιεῖται κίνησιν ἀνεύως δ', ὡς περὶ τὸ μῦθον, δεῖξαι θέλων ὡς ἄρκτος τὸν κυνηγέτην, καὶ διὰ τοῦτο περὶ τὸ τῶ Ὠρίωνος ἀποβλέπει ἄστρον. ἡ δὲ ἀρκτώου δὲ Καλλιστὼς μὲν λέγουσι Ἀρκάδα καλούμενον, ὃς ἐπιχειρούμενον τὴν μητέρα ἐν κυνηγεσίῳ κατ' αὐτῆς, μεταβαλλομένην εἰς ἄρκτον, τῷ Διὸς μιγνυμένῃ αὐτῇ, ὡς εἴρηται, ἀνεῖλεν· ᾗ ὁ Ζεὺς ἐλεήσας αὐτοὺς κατηστέρισε· ἔστι δὲ αὐτῆς ἐπὶ τῆς ζώνης τῶ ἀρκτοφύλακος.

ΠΕΡΙ ΚΕΦΑΛΟΥ

Κέφαλος Δηϊονέως υἱὸς, πατὴρ Ἀρκεισίου τοῦ πάππου Ὀδυσσέως, ὃς ἐγένετο ἐκ τῆς ἄρκτου μεταβληθείσης εἰς γυναῖκα ἔθεν Ἀρκείσιος. τούτου δὲ τῷ μαντείῳ ὑπὸ κελεύσει ... ἡ Κεφαλληνία νῆσος.

ΠΕΡΙ ΚΗΫΚΟΣ.

Κήϋξ ὁ Φωσφόρου τοῦ ἀστέρος, γήμας Ἀλκυόνην τὴν Αἰόλου, μέγα φρονῶν τῷ ἑαυτοῦ, ... ἐβούλετο ... τοὺς γαμετὴν ... Δία, ... Ἥραν τὴν γυναῖκα Ζεὺς δὲ ἀγανακτήσας, μετέβαλεν αὐτοὺς εἰς ὄρνεα, ... ἀλλήλων ... ἡ μὲν Ἀλκυόνα, ὁ δὲ Κῆϋξ. ... δὲ τοῖς αἰγιαλοῖς τῆς Ἀλκυόνης τικτούσης, ... τὰ κύματα, τὰ ἔγγονα αὐτῆς κατεσύρετο. Ζεὺς δὲ ... αὐτὴν ... ἐπέταξε τοῖς κύμασι, καθ' ὃν ἂν καιρὸν ἡ Ἀλκυόνη τίκτῃ, μὴ ποιεῖν μέχρι ποσῶν δὲ δέκα ἡμερῶν, τοῦ χειμῶνος αὐξανομένου. ... δὲ Ἀλκυών, παρὰ τὸ ἐν ἁλὶ κύειν.

ΠΕΡΙ ΚΗΦΕΩΣ

Κηφεὺς, ὡς Εὐριπίδης φησὶν, ἦν Αἰθιόπων βασιλεὺς, Ἀνδρομέδας δὲ πατήρ. ταύτην δ' αὐτοῦ θυγατέρα ... ἐκτεθεῖσαν τῷ κήτει ... ἐν Περσεὺς ὁ Διὸς ἔσωσε. ... αὐτοῖς ἐν τοῖς ἄστροις ἔθηκεν Ἀθηνᾶ γνώμῃ.

ΖΕΥΣ γεννᾷ
ΒΗΛΟΝ, ὃς ἦν
βασιλεὺς Βαβυλῶνος, ὁ
ΚΗΦΕΥΣ, βασιλεὺς
Αἰθιόπων, ὁ
ΑΝΔΡΟΜΕΔΑ
ἐξ ἧς Περσέως τοῦ Διὸς,
ΓΟΡΓΟΦΟΝΤΗΣ, ΑΛΚΑΙΟΣ, ΣΘΕΝΕΛΟΣ, ΗΛΕΙΟΣ, ΜΗΣΤΩΡ, ΗΛΕΚΤΡΥΩΝ

Ἰστέον δὲ ὅτι δύο προσέτι ἐνεφάνησαν Κηφεῖς· ὧν ἡ γενεαλογία οὕτως ἔχει·

ΔΙΟΣ καὶ ΘΕΜΙΣΤΟΥΣ	ΔΙΟΣ καὶ ΛΟΡΙΤΙΠΗΣ
γίνεται ΑΡΚΑΣ,	γίνεται ΕΛΛΗΝ,
ὁ ΑΦΕΙΔΑΣ	ὁ ΑΙΟΛΟΣ,
ὁ ΑΛΕΟΣ,	ὁ
ὁ ΚΗΦΕΥΣ	ΚΗΦΕΥΣ, ΔΗΙΟΝΕΥΣ, ΣΑΛΜΩΝΕΥΣ & ἄλλοι.

ΠΕ.

ΠΕΡΙ ΤΗΣ ΚΙΡΚΗΣ

Κίρκην τινὲς μὲν Αἰήτου ἀδελφὴν, τινὲς δὲ θυγατέρα φασὶν εἶναι. τούτων Διονύσιος ὁ Μιλήσιος ἐν πρώτῳ τῶν Ἀργοναυτικῶν, θυγατέρα Αἰήτου καὶ Ἑκάτης τῆς Πέρσου, ἀδελφὴν δὲ Μηδείας λέγει· ἡλίου γὰρ ὄντα υἱοὺς γενέσθαι δύο ἐκ τῆς πόσεως ἐκείνης, οἷς ὀνόματα εἶ Πέρσαις καὶ Αἰήτης. τούτων δὲ κατασχεῖν τὴν χώραν καὶ Αἰήτην μὲν Κολχίδος καὶ τῆς Μαιώτιδος, Πέρσην δὲ τῆς Ταυρικῆς βασιλεῦσαι, καὶ γῆμαι γυναῖκα τῶν ἐγχωρίων τινὰ, καὶ γεννῆσαι αὐτῷ θυγατέρα, ἣν ὀνομάσαι Ἑκάτην. ἣν δὲ, ἐν ἀκμῇ τινος ἐγχωρίας τὴν Ἑκάτην φασὶν αὐτοῦ γῆμαι, ἀδελφὴν οὖσαν τῷ κασιγνήτῳ, καὶ πρώτην θανασίμους εὑρεῖν, καὶ ἐμπειροτάτην γενέσθαι τῶν τε δηλητηρίων, καὶ τὸν ἴδιον πατέρα καὶ τὸν ἴδιον πατέρα φαρμάκοις ἀποκτεῖναι. ταύτην γυναῖκα μεταπεμψαμένης ἐν Κόλχις Αἰήτη τῷ πατραδέλφῳ, ἀφ' ἧς γεννῆσαι Κίρκην, καὶ Μήδειαν. τὴν δὲ Κίρκην πρεσβυτέραν οὖσαν Μηδείας, παραδοθῆναι τὴν ἑαυτῆς μητέρα. τὰ μὲν διδάξασαν παρ' αὐτῆς, τὰ δὲ καὶ αὐτὴν ἐξευρεῖν πολλὰ καὶ δεινὰ φάρμακα. Μηδείαν δὲ σωφρονεῖν Κίρκης, καὶ πραοτέραν δὲ αὐτῆς. ταῦτα μὲν οὕτω. Ἡσίοδος δὲ φησι τὴν Κίρκην τοῦ ἡλίου θυγατέρα εἶ.

ΠΕΡΙ ΚΛΥΜΕΝΗΣ

Κλυμένη θυγάτηρ Ἴφιος, ἣ Μινύου, ἀπὸ Φυλάκου τοῦ Δηΐονος. Ἴφικλον τίκτει παῖδα ποδώκη. Ἡσίοδος δέ φησι συμμιγῆναι αὐτὴν Ἡλίῳ, καὶ τεκεῖν Φαέθοντα.

ΠΕΡΙ ΚΟΙΣΤΡΑΣ

Κοίστρα, γυνὴ Ἀθήνησι γυμνὴς καὶ πλούσια, μήτηρ Μεγακλέους καὶ Ἱππαρίχου, Ἀλκμαιωνίδαις γαμηθεῖσα, ἥτις ἐπὶ θηλείαις διεβεβλήθη. καὶ Κοισυρῶται, καὶ κοισυρῶσαι, ἀπὸ τῆς Κοισύρας.

ΠΕΡΙ ΚΟΝΝΑ

Κοννᾶς, αὐλητὴς ἦν, καὶ μέθυσος, ὃς οὐ στεφανίτας στεφάνους ἔστεμμένος ὑπὸ Ὀλυμπιονίκης ψηφίσμου, καὶ εὐλάβειας στεφανοῦσθαι, πενιχρὸς ὢν, μηδὲν ἔχων ἀλλ' ἢ κότινον· ἀφ' οὗ Κρατῖνος φησι,

Ἔνθα, καὶ σοῦ γαστρὶ δῶρα χάρι, ὥστε σε δῆμος
Ἐχθαιρε· Κοννᾶς δὲ πολυστέφανος ἐλεήσιν

λέγει δὲ αὐτὸς τοιαῦτα ποιήσαντα, μιλήσιον ποιηθῆναι· ἡ δὲ παροιμία

— Στέφανον μὲν ἔχων, δίψη δ' ἀπολωλώς.

καὶ πάλιν

Δελφὸς ἀνὴρ στέφανον μὲν ἔχων, δίψη δ' ἀπολωλώς.

πρὸς τὸ Κρατῖνον δὲ καὶ τόπῳ, ὅτι μέθυσος ἦν.

ΠΕΡΙ ΚΟΡΔΑΛΟΥ

Κόμβος, ἢ Κορδαλὸς, τὸ ζωΰφιον, τὸ ἔχον ἐπὶ τῆς κεφαλῆς ἀνεστηκότα πτερὰ, ὥσπερ λόφον· ὃν λόφον οἱ τῶν Ἑλλήνων μῦθοι τὸν τάφον εἶναι θέλονται τοῦ πατρὸς αὐτοῦ· φασὶ γὰρ αὐτὸν εἶναι πρὸ τῆς γῆς γεγονότα· ἀποθανόντος δὲ τοῦ πατρὸς αὐτοῦ, ὅπου καὶ οὐκ ἔχειν εἶναι θάψοντα, ἐπὶ τῆς κεφαλῆς θάψαι· κεφαλῆς τοῦτο γὰρ βούλεται δηλοῦν καὶ παρὰ Θεοκρίτῳ, τὸ, τυμβίδιον κορυδαλλίδες, ὅτι αἱ ἐπὶ τῆς ἑαυτῶν κεφαλῆς τὸ τύμβον τοῦ πατρὸς φέρουσαι.

ΠΕΡΙ ΚΡΗΘΕΩΣ

Κρηθεὺς, Σαλμωνέως ἦν ἀδελφὸς, ὡς δὲ ἴσως, καὶ Ἀθάμαντος· ἀμφότεροι δὲ παῖδες Αἰόλου καὶ Ἀναξιβίας τῆς Ἀλαίου.

ΠΕΡΙ ΚΡΙΟΥ

Κρῖον, Διονύσιος ἐν τοῖς Ἀργοναυτικοῖς φησι γενόμενον τροφέα Φρίξου ἐν αἰσθήσει τῆς ἐπιβουλῆς Ἰνοῦς, ὑποθέσθαι τῷ Φρίξῳ τὴν φυγὴν ποιήσασθαι καὶ συμπλεύσαντα αὐτῷ εἰς Κόλχους ἐκεῖ καὶ μεμνῆσθαι ὡς ὑπὸ Κριοῦ διασωθεὶς, καὶ ἐκδεῖν αὐτοῦ θυσίας αὐτῷ. Ἡρόδωρος δέ φησιν Ἀθάμαντος καὶ Θεμιστοῦς γενέσθαι παῖδας, Σχοινέα, Ἐρύθριον, Λεύκωνα, Πτῶον, συμπαθεῖς δὲ Φρίξου καὶ Ἕλλης ὡς διὰ τῆς Ἰνοῦς ἐπιβουλῆς ἐκχωρήσας, πλεύσαντας δὲ τὴν Ἕλλην ἐν τῇ ἀποχωρήσει· οἱ δὲ φασιν αὐτοὺς ὑπὸ κριοπρώρου σκάφους πλεῦσαι φεύγοντας τὴν ὀργὴν τῆς μητρυιᾶς.

ΠΕΡΙ ΚΤΙΜΕΝΗΣ

Κτιμένη, Ὀδυσσέως ἦν ἀδελφὴ, ἣν ἀπὸ Εὐρυλόχου γεγαμῆσθαι ἱστορεῖται· ἣν Ὅμηρος ἰφθίμην λέγει, καθὸ καὶ τὴν τοῦ Λαέρτου ἄλοχον, διάφορον ὁμοίως καὶ τὴν Πηνελόπην.

ΠΕ.

ΠΕΡΙ ΚΥΓΧΡΕΟΣ

Κυγχρεὺς, Σαλαμῖνος καὶ Ποσειδῶνος υἱὸς, ἐβασίλευσε δ' Σαλαμινίων, ὥς φησιν Εὐφορίων. τοῦτο δὲ τινες τὴν ἀρχὴν Κίκροπα φασι. ἔλθοι δ' ἐν ... ἐλυμαίνετο τὴν Σαλαμῖνα, καὶ ἀοίκητον ἐποίει ὃν ὁ Κυγχρεὺς ἀπώλεσεν. ὅθεν καὶ ἀνάξιος ἐκλήθη.

ΠΕΡΙ ΤΟΥ ΚΥΔΩΝΟΣ

Κύδων, βασιλεὺς Κυδωνίας πόλεως ἐν Κρήτῃ. οὗτος λέγεται υἱὸς γεγονέναι Ἑρμοῦ, διὰ τὸ λέγεσθαι καὶ μετὰ τοῦ ἀδελφοῦ Ἀλέξανδρος ἐν πρώτῃ Κρητικῶν φησι, τῇ Ἀκακαλλίδι συνελθὼν τὸν Ἑρμοῦ καὶ τὸν Ἀπόλλωνα· καὶ ἐκ μὲν Ἀπόλλωνος γενέσθαι Νάξον, ἐκ δὲ Ἑρμοῦ, Κύδωνα· ἀφ' οὗ ἡ πόλις Κυδωνία, κτίσματα αὐτοῦ καὶ βασιλέως ὥσπερ καὶ Κνωσσὸς Μίνωος καὶ Γόρτυνα, ταύτας ἐκεῖνα τοῦ Φωνέως Ἐλευσίνα ἀρξάσαντος. μεγάλαι δὲ αὗται αἱ πόλεις, καὶ ἡ Γνωσσός, αὗται πόλεις Κρήτης μέγισται, Γόρτυνα, Κυδωνία, καὶ Κνωσσός.

ΠΕΡΙ ΤΩΝ ΚΥΚΛΩΠΩΝ

Ἐν τῇ Σικελίᾳ τῇ νήσῳ, περὶ τὰ ἔρημα αὐτῆς, λέγονται οἱ Κύκλωπες γενέσθαι, ποιμένες τὸν βίον ἐπιτηδεύοντες, ζῶντες δὲ βαρβάρως. λέγονται δὲ οὗτοι ἀνθρωποφάγοι εἶναι, καὶ καταβοσκήσαι τοὺς τοῦ Ὀδυσσέως ἑταίρους. εἶναι δὲ ἕνα τὸν Κύκλωπα τὸν τοῦ Ποσειδῶνος υἱὸν, καλεῖσθαι δὲ τὸν Πολύφημον. οἱ μὲν ἔφασαν ὥσπερ τοὺς Αἰγυπτίους, χάριν τερπτικὴν σομα, ὑπὸ καὶ τὸν Κύκλωπα ἐξ ἰδίας ἐν κόσμῳ μετέωρον, ἀξιώσαμεν τοῦ Πολύφημον τὸ κοινὸν, καὶ τῶν παλαιοτάτων Οὐρανοῦ καὶ Γῆς υἱῶν, Κυκλώπων καὶ αὐτῶν ὄντων, Βρόντην τε Στερόπην τε καὶ Ἄργην οἱ τινες γαλακοῦ τὴν τέχνην μαθόντες ἐξεχάλκευσαν διὰ τὴν βροντὴν καὶ τὴν στεροπὴν τῷ Διὶ κατασκευάζουσι. Ἡσίοδος δὲ φησιν ὅτι Κύκλωπες ἐπωνομάσθησαν, ὡς ἕνα ἔχοντες κυκλοτερῆ ὀφθαλμὸν ἐν τῇ ὄψει. Ἑλλάνικος δὲ, ἀπὸ Κύκλωπος υἱοῦ Οὐρανοῦ, λέγων τὸ πρῶτον τῶν παρ' Ὁμήρῳ Κυκλώπων, ἀλλὰ περὶ τῶν Θεῶν. Κυκλώπων γὰρ γένη τρία· Κύκλωπες, οἱ τὰ Μυκήνια τειχίσαντες, οἱ περὶ τὸν Πολύφημον, καὶ αὐτοὶ οἱ Θεοί.

ΠΕ-

ΠΕΡΙ ΤΩΝ ΕΚ ΚΥΝΟΣΑΡΓΕΣ ΑΠΟΓΡΑΠΤΟΜΕΝΩΝ ΝΟΘΩΝ

ΤΟ Κυνόσαργες τόπος ἦν Ἀθήνησιν, ἐν ᾧ οἱ νόθοι ἐξεβάλλοντο, ὡς τοῦδε ὄντος γέγονεν υἱός, ἢ ἐκείνης. ἦσαν δὲ τῶν Ἀθηναίων καὶ τῆς ἀπελευθέρας νόθοι· νόθοι δὲ καὶ ὅσοι μητρὸς ἐκ ξένης ἐλεύθεροι· ὅσοι δὲ ἐκεῖσε ἐδοκιμάζοντο ὡς ὅλως ἐλευθερωθῆναι.

Κυνόσαργες, δὲ ἐκλήθη ὁ τόπος, ἀπὸ τούτου. θύοντος τοῦ Διομέου ἐν ἱερῷ γυμνάσιον, εἰσελθὼν κύων ἀρπάσας ὄρνεις τοῦ θύματος, καὶ ἤγαγεν ἐν τούτῳ τῷ τόπῳ· καὶ ἱερὸν ἐδείματο ἐκεῖ, καὶ ἐκλήθη Κυνόσαργες, ὅτι Κυνόσαργες, ἀπὸ τοῦ σαρκῶν καὶ τοῦ κυνὸς. ὅπερ δὲ τοῦ κατὰ ἀργῶς ἐξελθόντος, εἰσῆλθε τὸ γράμμα διὸ καὶ κυνόσαργες καλεῖται.

ΠΕΡΙ ΤΩΝ ΚΥΚΝΩΝ

ΚΥκνοι, δύο εἰσίν, ὁ μὲν, Ἄρεως, ὁ δὲ, Ποσειδῶνος καὶ ὁ μὲν Ἄρεως, κατὰ τὴν Θεσσαλικὴν θάλασσαν λῃστεύοντα, Ἡρακλῆς ἐφόνευσεν ἐν τῇ Ἀσπίδι Ἡσιόδου δηλοῖ· ὁ δὲ Ποσειδῶνος, Ἀχιλλεῖ, στρατευσάμενος ἐν συμμαχήσας τοῖς Τρωσὶν, ὡς καὶ Πίνδαρος φησὶν. οὗτος ἐλέγετο ἄτρωτος εἶναι τὸ πᾶν τὸ σῶμα, πλὴν κεφαλῆς. τοῦτο δὲ μῦθος, ὅτι καὶ τὴν κεφαλὴν πληγεὶς ὑπ᾽ Ἀχιλλέως ὁ Κύκνος ἀπέθανεν. ἄλλο δὲ ἔδοξεν ἐν στρατείᾳ ὁ Κύκνος, καὶ κατὰ τὸν παρ᾽ ... ἐν τοῖς ἄλλοις, ὡς μελέτη τρωθῆναι, ἀποστάντες τῆς μυθίας, ὅτι ἄτρωτος ἦν Κύκνος. ἐν δὲ χρόνῳ, ἐπειδὴ λευκὸς ἐγένετο, ἐκλήθη ... Θαλάσσης ... κατακτεῖναι, ... τῆς ... Κύκνου ὀνόματα, ἡ δὲ ... ἔγημε Προκλείαν τὴν Λαομέδοντος, καὶ γεννᾷ Τένην καὶ Ἡμιθέαν. ἀποθανούσης δὲ τῆς Προκλείας, ἐπέγημεν ὁ Κύκνος Φιλονόμην τὴν Τραγάσου· ἥτις ἐρασθεῖσα τοῦ Τένου, καὶ μὴ τυχοῦσα, κατηγόρησε πρὸς τὸν πατέρα, πειθομένη ὑπ᾽ αὐτοῦ, συμμαρτυροῦντος αὐτῇ καὶ αὐλητοῦ τινος Μόλπου. ὁ δὲ ὀργισθεὶς, εἰς λάρνακα βαλὼν Τένην καὶ Ἡμιθέαν, ἔβαλεν εἰς τὴν θάλασσαν· τῆς δὲ λάρνακος προσενεχθείσης τῇ πρὶν Λευκοφρύι νήσῳ, νῦν δὲ ἀπὸ τοῦ Τένου, Τένεδος καλουμένῃ, ἐλθὼν ὁ Τένης τὸ συμβὰν, καὶ μαθὼν τὸ δρᾶμα, βασιλεὺς οὗτος ὁ Τένης γέγονεν· καὶ τὴν νῆσον οὕτως, Τένεδον προσηγόρευσεν. γνοὺς δὲ ὁ Κύκνος τὸ ἀληθὲς, ἀπέπλευσε

μῆ Φιλονόμην· οὗτος δὲ ἐλθὼν συνῴκησε τῷ πατρὶ ἐν Τενέδῳ. Ἀχιλλεὺς δὲ ἐνστρατεύσας τῇ Τροίᾳ, ἀπέκτεινε τὸν Κύκνον, καὶ Τέννην τὸν υἱὸν Κύκνου, λόγῳ, ἔργῳ δὲ, Ἀπόλλωνος· καὶ δὴ Ἡμιθέα ἐκκομίζει, φεύγουσα τὴν μῖξιν, ἐις γῆν κατεπόθη· μετὰ δὲ τὸ ἀπολέσαι Ἀχιλλέα Κύκνον, καὶ Τέννην, ὡς ἔπειτα ἐλθὼν, ὕστερον ἀπέκτεινε καὶ Μνήμονα, ὅντινα ἡ Θέτις συνεξέπεμψεν Ἀχιλλεῖ δεδωκυῖα, ὑπομιμνήσκειν αὐτὸν μὴ ἀνελεῖν Ἀπόλλωνος παῖδα· ἡμαρτήθη γὰρ τῷ Ἀχιλλεῖ ἀποθανεῖν, εἰ ἀνέλῃ παῖδα Ἀπόλλωνος· ὁ δὲ Τέννης, ὡς ἔφην, υἱὸς Ἀπόλλωνος. Λέγεται δὲ καὶ περὶ τῆς μεταμορφώσεως τοῦ Διὸς εἰς Κύκνον.

Ὁ Ζεὺς ἐρασθεὶς, ὡς οἱ μὲν λέγουσι τῆς Νεμέσεως, οἱ δὲ, τῆς Λήδας, βουλόμενος τῷ συγγενέσθαι καὶ μὴ ἐπιγνωσθῆναι ὑπὸ τῆς Ἥρας, ἐξομοιωθεὶς Κύκνῳ, καὶ συνεγένετο τῇ ὁρμῇ· καὶ διὰ τοῦτο ὁ Κύκνος καταστερισθεὶς ἐν τῷ οὐρανῷ, καὶ ἔστιν, ὡς φασι, κατεζευγμένος καὶ ὄρνις ὁ κύκνος. Δεῖ δὲ εἰδέναι ὅτι ὁ κύκνος τὸ ζῶον ἀφιέρωται τῷ Ἀπόλλωνι, ὁ μὲν διὰ τὸ μέλος, ὡς μουσικὸς, ἄλλο καὶ διὰ τὸ λευκὸν, ὅπερ ἐκ τοῦ λευκοῦ, ἐπιβλέψειν, ὥσπερ γὰρ ὁ Ἀπόλλων ἐπὶ ἐφορεύει. Οὗτος ὁ Δήλιος ἐπιθετικῶς ὀνομάζεται, ὡς δῆλα καὶ φανερὰ πάντα ποιῶν.

ΠΕΡΙ ΚΥΛΩΝΟΣ

Κύλων, Ἀθηναῖος ἀνὴρ, Μεγαρέως γυναῖκα γήμας Θεαγένους γυναῖκα, φίλων περιουσίᾳ, ἔλαβε χρησμὸν τῇ μεγάλῃ ἑορτῇ τοῦ Διὸς, καταλαβεῖν τὴν πόλιν. Ἐν Ὀλυμπίᾳ δὲ στεφθεὶς, νομίζων ταύτην τὴν μεγάλην ἑορτὴν, δύναμιν λαβὼν παρὰ Θεαγένους, μὴ γνοὺς ὅτι τὰ Διάσια ἦν ἡ μεγάλη ἑορτὴ, ἐπιθέμενος τῇ Ἀκροπόλει, ἀλίσκεται. Ἐλήφθη δὲ συλῶν τι τῆς Ἀθηνᾶς ἱερὸν καὶ οὕτω μὲν ὁ Κύλων φεύγει, τοὺς δὲ ἄλλους φονεύσαντες δὲ καὶ λαβόντες ἐκ τῶν βωμῶν ἀπέσπασαν καὶ ἀπέκτειναν· τοὺς δὲ ἁμαρτόντας εἰς τὰς ἱκέτας ἐναγεῖς ἐκάλουν, καὶ ἐξέβαλον τῆς πόλεως, ὅτι ἐν τῷ ἀρχαίῳ νόμῳ παρέβησαν, τοὺς ἱκέτας φονεύσαντες.

Ἄλλως. Κύλων τὴν Ἀκρόπολιν κατέλαβεν, ἐπὶ τυραννίδι, καὶ ἐλήφθη ποτὲ συλῶν τι τῆς Ἀθηνᾶς ἱερὸν καὶ ὑπὸ Ἀθηναίων ἐκλείσθη· καὶ ὅτι, ἐκεῖνος ὅτε ἐχώρει, συνηθροίζοντο καὶ οἱ φίλοι ἔφυγον εἰς τὸν βωμὸν τῶν Θεῶν· οἱ δὲ τούτους ἀποσπάσαντες ἀπέκτειναν· ὅθεν ἐναγεῖς ἐκλήθησαν· ἐκλήθησαν δὲ ἀπὸ τοῦ οἱ ἐναγεῖς. Λιμὸς κατέλαβέ ποτε τοὺς Ἀθηναίους, καὶ οἱ τύχης

τὰ τῶν ἀλόγων ἔλαφος ἐξήρπαζεν ἀπὸ γῆς ἔχουσα κατεχρη- σαμένη τὰς τοιαύτας ἐλπίζειν ἐκάλει. καὶ τοῦτο δὲ τὸ ὄνομα ἐκ τοῦ μὴ ἔχειν τι ὑπάρχον, ἀπὸ τῆς οὐσίας τῆς κατὰ τὸν Ἀπολλώνιον κάλαμον γραφεῖσα. ἔστι δὲ καὶ πεζογράφος ἀπὸ τῶν ἀλεξάνδρου, ὁ τῶν ἁμαρτιῶν. λαμβάνεται δὲ παρὰ τῷ Ἀριστοφάνει τὸ ἀλλότριον, καὶ ἀντὶ τοῦ ἀποχρῆσθαι καὶ ἀναχωρεῖν.

ΠΕΡΙ ΤΟΥ ΚΥΡΟΥ ΤΟΥ ΠΑΡΥΣΑΤΙΔΟΣ

Δαρεῖος ὁ μακρὸς υἱὸς Ξέρξου, γήμας ἐκ τῆς Παρυσάτιδος δύο υἱούς, Κῦρον καὶ Ἀρταξέρξην· ἀποθανόντος δὲ τοῦ Δαρείου, ἀμφισβήτησιν ἐν δύο περὶ τῆς βασιλείας· καὶ τῷ μὲν ὡς πρεσβυτέρῳ ἦγεν ὁ χρόνος ἐπὶ τὸ βασιλεύειν· τῷ δὲ Κύρῳ, ὡς νεωτέρῳ καὶ φιλίμῳ, ἡ μήτηρ προσεβάλλετο. κρατεῖ δὲ ὁ Ἀρταξέρξης διὰ τὸν χρόνον καὶ βασιλεύει αὐτός. ὁ δὲ Κῦρος μὴ θέλων ὑποπεσεῖν τῷ Ἀρταξέρξῃ, αὐτὸς τὴν ἀρχὴν ἀπολέσαι, ἐδόκει αὐτῷ τῆς Ἀσίας σατραπείαν, ὅσην ὑπερχόμενος, ὁ δὲ λαβών, κατελθεῖν ἐπὶ τὴν Ἰωνίαν κακῶς τε καθεζομένους, ὡς ἐπὶ τὸν πλῆθος τὸν τῆς βασιλείας, καὶ ὑποποιήσας Λακεδαιμονίων ἄνδρας τινάς, καὶ ἄλλους Ἕλληνας. ὡς μισθῷ, ἔπεισεν αὐτοὺς συμπολεμῆσαι αὐτῷ. τούτων συμπολεμησάντων, ἀνῆλθεν ἄχρι Περσίδος καὶ συμβολῆς γενομένης μεταξὺ τοῦ Ἀρταξέρξου καὶ τοῦ Κύρου, νικῶσι οἱ Κύρου καὶ ταῦτα πολλοὶ ἐλέγχονται ὄντες περὶ τὸν Ἀρταξέρξην στρατιᾶς. οἱ γὰρ Ἕλληνες ἔδοξαν καλῶς ἀγωνίσασθαι, καὶ ὀλίγοι ὄντες, περιγενέσθαι τῶν πολλῶν. ὁ δὲ Κῦρος ἐπεμβὰς τῇ περὶ ὀλίγου νίκῃ, ἐφορμᾷ κατὰ τῆς αὐτοῦ φάλαγγος, ἔνθα ἡ φάλαγξ Ἀρταξέρξου, ὡς ἐλθὼν κατὰ τὸν Ἀρταξέρξην κατεσφάξατο, καὶ διεφθάρησαν μόνον ὧν καὶ ὑπὲρ πλῆθος μὴ βασιλεύσας.

ΔΙΑΤΙ ΚΩΛΙΑΣ Η ΑΦΡΟΔΙΤΗ ΕΚΛΗΘΗ

Κωλιάς, ἡ Ἀφροδίτη ἐκλήθη, ἀπὸ τινος κατὰ λιμένα, ἡ ἀπὸ τινος, κατασχεθεὶς ἐκ τῆς κώλου. ὅτι τῶν αἰχμαλώτων καὶ τῶν χωρῶν, ἐδέθη ὁ δὲ θυγάτηρ, ἡ τὰ ἀρχαῖα, ἐν τῇ τιμῇ αὐτοῦ, ἱδρύσατο αὐτῇ, ἐπίκλησιν αὐτῆς, μιγεῖσα τούτῳ, ὁ δὲ Ἀφροδίτης ἱερὸν κωλιάδος ἱδρύσατο εἰς ἀρχαιοτέρου αὐτῆς, ὅτι δεδεμένος ἦν ἐκ τῶν κώλων, ἐρρύσατο.

ἹΣΤΟΡΙΚΟΊ.

ΠΕΡΙ ΚΑΔΜΟΥ ΤΟΥ ἹΣΤΟΡΙΚΟΥ.

ΚΆδμος Πανδίονος, Μιλήσιος ἱστορικὸς· ὃς πρῶτος κατά τινας συγγραφὴν ἔγραψε καταλογάδην, μικρῷ νεώτερος Ὀρφέως. συνέταξε δὲ κτίσιν Μιλήτου, καὶ τῆς ὅλης Ἰωνίας ἐν βιβλίοις τέσσαρσιν· ὅτι ὁ Κάδμος φασὶ πρῶτος εἰς τὴν Ἑλλάδα κομίσαι τὰ γράμματα, ἅπερ πρῶτον Φοίνικες ἐξεῦρον. ἐστὶ καὶ ἕτερος Κάδμος Ἀρχελάου, Μιλήσιος καὶ αὐτὸς ἱστορικὸς, νεώτερος. τινὲς δὲ καὶ Λυδὸν τὸν Κάδμον ἀπαγγέλουσιν. ἀλλ' ἴσως ἐστὶν ἕτερος, ἔγραψε δὲ λύσιν ἐρωτικῶν παθῶν ἐν βιβλίοις ιδ' καὶ Ἀττικὰς ἱστορίας, ἐν βιβλίοις ις'.

ΠΕΡΙ ΚΑΠΙΤΩΝΟΣ.

ΚΑπίτων Λύκιος ἱστορικὸς· ὃς ἔγραψεν Ἰσαυρικά, βιβλία η'. μετάφρασιν τῆς ἐπιτομῆς Εὐτροπίου Ῥωμαϊστὶ ἐπιτεμόντος Λίβιον Ῥωμαῖον τὸν Πτολεμαΐδος καὶ περὶ Λυκίας, καὶ Παμφυλίας.

ΠΕΡΙ ΚΑΛΛΙΞΕΝΟΥ.

ΚΑλλίξενος, ὁ Διαλεκτικὸς, ἔγραψε περὶ Περσῶν· ὧν τὰς πραγματείας ἐπεξειργάσατο Πολύβιος ὁ Μεγαλοπολίτης, ὡς λέγει ἐν τοῖς ἑπομένοις.

ΠΕΡΙ ΚΛΗΜΕΝΤΟΣ.

ΚΛήμης ἱστορικὸς ἔγραψε τοὺς Ῥωμαίων βασιλεῖς, καὶ ἀντιρρητικὸν καὶ αὐτῆς ἁρμονίας, περὶ τῶν Ἰσοκράτους σχημάτων καὶ ἄλλα.

ΠΕΡΙ ΚΡΙΤΩΝΟΣ.

ΚΡίτων Πιερίτης πόλις, ἥ ἐστι Μακεδονίας ἡ Πιερία. ἔγραψε Παλληνιακὰ, Συρακουσῶν κτίσιν, Περσικὰ, Συρακουσῶν περιήγησιν, καὶ περὶ τῆς ἀρχῆς τῶν Μακεδόνων. καὶ ἕτερος Κρίτων Νάξιος, ἱστορικὸς, ἔγραψεν ὀκταετηρίδα, ὡς Εὔδοξος φασίν.

ΠΕΡΙ ΚΤΗΣΙΟΥ ΤΟΥ ΙΑΤΡΟΥ

Κτησίας, Κτησιάρχου, ἢ Κτησιόχου, Κνίδιος ἰατρὸς ὃς ἰάσατο ἐν Πέρσαις Ἀρταξέρξην τὸν Μνήμονα κληθέντα· καὶ συνέγραψε Περσικὰ ἐν βιβλίοις κγ΄.

ΠΕΡΙ ΚΑΛΛΙΝΙΚΟΥ ΤΟΥ ΡΗΤΟΡΟΣ

Καλλίνικος Γαΐου, ὁ καὶ Σουητώριος ἐπικληθεὶς, ῥήτωρ Σύρος ἢ ὥς τινες, Ἀράβιος τὸ δ᾽ ἀληθὲς, Πετραῖος, σοφιστεύσας· ἔγραψε πρὸς Λοῦπον περὶ κακοζηλίας ῥητορικῆς· προσφωνητικὸν Γαλλιηνῷ· πρὸς Κλεοπάτραν περὶ τῶν κατ᾽ Ἀλεξάνδρειαν ἱστοριῶν βιβλία δέκα· πρὸς τοὺς φιλοσόφους αἱρέσεις· περὶ τῆς Ῥωμαίων ἀνανεώσεως· καὶ ἄλλα τινὰ ἐγκώμια καὶ λόγους.

ΠΕΡΙ ΚΑΣΤΟΡΟΣ ΤΟΥ ΡΗΤΟΡΟΣ

Κάστωρ, Ῥόδιος ἢ, ὥς τινες, Γαλάτης, ῥήτωρ φιλορώμαιος κληθείς. ἔγραψεν ἀναγραφὴν τῶν θαλασσοκρατησάντων ἐν δυσὶ βιβλίοις· χρονικὰ ἀγνοήματα καὶ περὶ ἐπιχειρημάτων ἐν βιβλίοις θ΄· περὶ πάθους β΄· περὶ τοῦ Νείλου· τέχνην ῥητορικὴν, καὶ ἄλλα.

ΠΕΡΙ ΚΑΙΚΙΛΙΟΥ ΤΟΥ ΡΗΤΟΡΟΣ

Καικίλιος Καλαντιανὸς, (Καλάκτη δὲ πόλις Σικελίας) ῥήτωρ, σοφιστεύσας ἐν Ῥώμῃ ἐπὶ τοῦ Καίσαρος Αὐγούστου, καὶ ἕως Ἀδριανοῦ· πρότερον καλούμενος Ἀρχάγαθος· τὴν δὲ δόξαν Ἰουδαῖος· ἔγραψε βιβλία πολλά· κατὰ Φρυγῶν β΄· ἀπόδειξιν τοῦ εἰρῆσθαι πᾶσαν λέξιν καλλιρρημοσύνης· ἐν δὲ κατὰ στοιχεῖον· σύγκρισιν Δημοσθένους καὶ Κικέρωνος· τίνι διαφέρει ὁ Ἀττικὸς ζῆλος τοῦ Ἀσιανοῦ· περὶ τοῦ χαρακτῆρος τῶν δέκα ῥητόρων· σύγκρισιν Δημοσθένους καὶ Αἰσχίνου· περὶ Δημοσθένους, ποῖοι αὐτοῦ γνήσιοι λόγοι, καὶ ποῖοι νόθοι· περὶ τῶν κατ᾽ ἱστορίαν, ἢ παρ᾽ ἱστορίαν εἰρημένων τοῖς ῥήτορσι, καὶ ἄλλα πλεῖστα.

ΠΕΡΙ ΚΕΦΑΛΩΝΟΣ

Κεφαλίων, ἢ Κεφάλων, Γεργίθιος, ῥήτωρ καὶ ἱστορικὸς γεγονὼς ἐπὶ Ἀδριανοῦ· ἔφυγε δὲ τὴν πατρίδα καὶ ἀπηχθημένος διατρίβων καὶ ᾤκησεν ἐν Σικελίᾳ. ἔγραψε παντοδαπὴν ἱστορίαν ἐν βιβλίοις ἐννέα ἅτινα ἐπιγράφεται Μοῦσαι, Ἰάδι διαλέκτῳ· μελέτας τε ῥητορικὰς, καὶ ἄλλα πολλά.

ΠΕ-

ΠΕΡΙ ΚΕΦΑΛΟΥ ΤΟΥ ΡΗΤΟΡΟΣ.

Κέφαλος Ἀθηναῖος ῥήτωρ καὶ δημαγωγός, ὃς πρῶτος προοίμια καὶ ἐπιλόγους συνέθηκε. γέγονε κατὰ τὴν ἀρχὴν ϞΕ' Ὀλυμπιάδος.

ΠΕΡΙ ΚΗΦΙΣΟΔΗΜΟΥ

Κηφισόδημος Ἀθηναῖος ἄλλος ῥήτωρ, δεινὸς περὶ τὰς δίκας, ἀλληλοτυπομαχῶν Γεραιοῦ.

ΠΕΡΙ ΚΟΡΑΚΟΣ.

Κόραξ ῥήτωρ ὃν εὑρετήν φασι τῆς ῥητορικῆς γενέσθαι.

ΠΟΙΗΤΑΙ

ΠΕΡΙ ΤΟΥ ΚΑΛΛΙΜΑΧΟΥ.

Καλλίμαχος, υἱὸς Βάττου καὶ Μεσάτμας, Κυρηναῖος, μαθητὴς Ἑρμοκράτους. ἔγραψε ποιήματα εἰς πᾶν μέτρον συνταξάμενος καὶ καταλογάδην πλεῖστα. καὶ ἔστιν αὐτῷ τὰ γεγραμμένα βιβλία ὑπὲρ τὰ Ω'. ἦν ἐπὶ Πτολεμαίου Φιλαδέλφου μέχρι τοῦ Εὐεργέτου παρέτεινε. τῶν δὲ βιβλίων, Ἰοῦς ἄφιξις, Σεμέλη, Ἄργους οἰκισμοί, Ἀρκαδία, Γλαῦκος, ἐλπίδες, Σατυρικὰ δράματα, τραγῳδίαι, κωμῳδίαι, μέλη, μουσεῖον, πίνακες τῶν ἐν πάσῃ παιδείᾳ διαλαμψάντων, καὶ ὧν συνέγραψαν, ἐν βιβλίοις κ' καὶ ρ'. πίναξ τῶν Δημοκρίτου γλωσσῶν καὶ συνταγμάτων. μηνῶν προσηγορίαι κατὰ ἔθνος καὶ πόλεις. περὶ τῶν ἐν τῇ οἰκουμένῃ ποταμῶν. θαυμάτων τῶν εἰς ἅπασαν γῆν κατὰ τόπους ὄντων συναγωγή. κτίσεις νήσων καὶ πόλεων, καὶ μετονομασίαι. περὶ μετονομασίας ἰχθύων, περὶ ἀνέμων, περὶ ὀρνέων, καὶ ἄλλα πολλά, ὡς οἴονται. ἔστι δὲ καὶ ἕτερος Κυρηναῖος Καλλίμαχος, ἐποποιός, ἀδελφιδοῦς τούτου.

ΠΕΡΙ ΚΑΝΘΑΡΟΥ

Κάνθαρος Ἀθηναῖος κωμικός· μέμνηνται τούτου δράματα, Μήδεια, Τηρεύς, συμμαχία, μύρμηκες, ἀηδόνες καὶ ἄλλα τινά.

ΠΕΡΙ ΚΑΡΚΙΝΟΥ

Καρκίνος, Ἀκραγαντῖνος τραγικὸς καὶ ἔπους ποιητὴς Ἀττικός· καὶ ἄλλος Θεοδέκτε, Ἀθηναῖος τραγικὸς ὃς ἐπέδειξε δράματα ρξ΄, ἐνίκησε δ΄ α΄. τῶν δραμάτων αὐτοῦ Ἀχιλλεύς, Σεμέλη· καὶ ἄλλα.

ΠΕΡΙ ΚΑΙΣΑΡΟΣ ΤΙΒΕΡΙΟΥ

Καῖσαρ Τιβέριος ἔγραψεν ἐπιγράμματα, καὶ ἀρχαῖα μιμεῖται.

ΠΕΡΙ ΚΟΡΙΝΝΗΣ

Κόριννα, Θηβαία, ἢ Ταναγραία, μαθήτρια Μύρτιδος, Ἀχελωδώρου καὶ Προκρατίας· ἐπωνόμαστο αὕτη λυρική· ἐνίκησε δὲ πεντάκις, ὡς λέγεται, Πίνδαρον· ἔγραψε βιβλία πέντε καὶ ἐπιγράμματα, καὶ νόμους λυρικούς. ἔστι καὶ ἑτέρα Κόριννα Θεσπία, (οἱ δὲ Κορινθίαν,) λυρικὴ ἔγραψε καὶ αὐτὴ νόμους λυρικούς.

ΠΕΡΙ ΚΗΦΙΣΟΔΩΡΟΥ

Κηφισόδωρος, Ἀθηναῖος τραγικὸς τῆς ἀρχαίας τραγῳδίας· φέρεται αὐτοῦ δράματα, Ἀμαζόνες, Τροφώνιον δὲ

ΠΕΡΙ ΚΙΚΙΛΙΟΥ

Κικίλιος, Ἀργεῖος ἐποποιὸς ἀλιευτικὰ γέγραφε· καὶ περιήγησιν Ἑλλάδος καὶ ἄλλα.

ΠΕΡΙ ΚΛΑΥΔΙΑΝΟΥ

Κλαυδιανὸς Ἀλεξανδρεύς, ἐποποιὸς νεώτερος γέγονεν ἐπὶ τῶν χρόνων Ἀρκαδίου καὶ Ὁνωρίου τῶν βασιλέων.

ΠΕΡΙ ΚΛΕΟΦΩΝΤΟΣ

Κλεοφῶν Ἀθηναῖος τραγικός. τῶν δραμάτων αὐτοῦ Ἀκταίων, Ἀμφιάραος, Ἀχιλλεύς, Βάκχαι, Δεξάμενος, Ἠριγόνη, Θυέστης, Λεύκιππος, Περσίς, Τήλεφος.

ΠΕΡΙ ΚΛΕΙΤΑΓΟΡΑΣ

Κλειταγόρα, ποιήτρια Λακωνική· μέμνηται Ἀριστοφάνης ἐν Δαναΐσι.

ΠΕ-

ΠΕΡΙ ΚΟΛΟΥΘΟΥ.

Κόλουθος Λυκοπολίτης, Θηβαῖος ἐποποιός· γέγονεν ἐπὶ τῶν χρόνων Ἀναστασίου τοῦ βασιλέως. ἔγραψε Καλυδωνιακὰ ἐν βιβλίοις ἕξ, ἐγκώμια δι' ἐπῶν, καὶ Περσικά.

ΠΕΡΙ ΚΟΡΙΝΝΟΥ.

Κόριννος Ἰλιεὺς ἐποποιὸς τῶν πρὸ Ὁμήρου, ὡς τινές φασι· καὶ πρῶτος γράψας Ἰλιάδα, ἔτι τῶν Τρωϊκῶν συνισταμένων. ἦν δὲ Παλαμήδους μαθητὴς καὶ ἔγραψε τοῖς ὑπὸ Παλαμήδους εὑρεθεῖσι Δωρικοῖς γράμμασιν. ἔγραψε καὶ τὸν Δαρδάνου πρὸς Παφλαγόνας πόλεμον. ὡς ἐκ τούτου λαβόντα καὶ τὴν ποίησιν πᾶσαν ὑποθέσθαι Ὅμηρον, καὶ ἐντάξαι τοῖς αὐτοῦ βιβλίοις.

ΠΕΡΙ ΚΡΑΤΗΤΟΣ.

Κράτης Ἀθηναῖος κωμικός· οὗ ἦν ἀδελφὸς Ἐπίλυκος ποιητὴς ἐπῶν. δράματα αὐτοῦ ἐστιν ἑπτά· Γείτονες, Ἥρωες, Θηρία, Λάμια, Πεδῆται, Σάμιοι· καὶ ἕτερος Ἀθηναῖος κωμικὸς καὶ αὐτὸς τῆς ἀρχαίας κωμῳδίας. φέρεται αὐτοῦ δράματα τρία· Θησαυρός, Ὄρνιθες, Φιλάργυρος.

ΠΕΡΙ ΚΡΑΤΙΝΟΥ.

Κρατῖνος Καλλιμήδους, Ἀθηναῖος κωμικός, λαμπρὸς τὸν χαρακτῆρα. ἔγραψε δράματα κά, ἐνίκησε δὲ θ΄.

ΠΕΡΙ ΚΡΕΩΦΥΛΟΥ.

Κρεώφυλος Ἀστυκλέους, Χῖος, ἢ Σάμιος, ἐποποιός. τινὲς δὲ ἱστοροῦσιν Ὁμήρου γαμβρὸν ἐπὶ θυγατρὶ οἱ δ', φίλον αὐτοῦ Ὁμήρου μόνον γεγονέναι καὶ ὑποδεξάμενον Ὅμηρον, λαβεῖν αὐτοῦ τὸ ποίημα τὴν τῆς Οἰχαλίας ἅλωσιν.

ΠΕΡΙ ΚΥΡΟΥ.

Κῦρος Πανοπολίτης ἐποποιός, γέγονεν ἐπὶ Θεοδοσίου τοῦ νέου βασιλέως· ἐφ' οὗ καὶ ἔπαρχος Πραιτωρίων καὶ πόλεως προεβλήθη.

ΠΕ-

ΠΕΡΙ ΤΟΥ ΚΑΡΝΕΑΔΟΥΣ

Καρνεάδης Λίβυς ἀπὸ Κυρήνης, υἱὸς Φιλοκώμου, φιλόσοφος· ἀφ' οὗπερ ἡ νέα ἤρξατο Ἀκαδημία· φασὶ δὲ πλησιφεγγοῦς τῆς σελήνης ἐκλιπούσης, καὶ τὸν ἥλιον κνεφώδη γενέσθαι.

ΠΕΡΙ ΚΑΛΛΙΠΠΟΥ

Κάλλιππος, Ἀθηναῖος φιλόσοφος, Σωκράτους μαθητής. φέρονται αὐτοῦ διάλογοι τρεῖς, Ἑβδόμη, Φρύνιχος, Πίναξ (ἔστι δὲ τῶν ἐν Ἅιδου διηγήσεις) καὶ ἄλλα τινά.

ΠΕΡΙ ΚΕΛΣΙΝΟΥ

Κέλσινος Εὐβοεύς, Κασταβαλεὺς φιλόσοφος ἔγραψε συναγωγὴν δογμάτων πάσης αἱρέσεως φιλοσόφου.

ΠΕΡΙ ΚΛΕΑΝΘΟΥΣ

Κλεάνθης, ὃς ἦν καὶ αὐτὸς τῶν Στωϊκῶν φιλοσόφων, Κλεάνθους μαθητὴς Κράτητος, εἶτα Ζήνωνος οὗ καὶ διάδοχος γέγονε, διδάσκαλος Χρυσίππου τοῦ φιλοσόφου τοῦ Σολέως, καὶ Ἀντιγόνου βασιλέως. οὗτος ἐπωνομάσθη Φρεάντλης, ὅτι ἐν τοῖς ὀρύγμασιν ἑαυτὸν ἔγραφε, κηπουρῶν ὕδωρ τοῖς κηπεύουσι καὶ διδοὺς αὐτό, ἐλάμβανε παρ' αὐτῶν ἄρτον, καὶ οὕτω θαυμάζεται δὲ οὗτος τῶν φιλοσόφων ὅτι ... καὶ ὅπως ὡς καρτερικός. οὗτος δὲ γέγονε φιλόπονος, ὥστε καὶ δεύτερος Ἡρακλῆς κληθῆναι.

ΠΕΡΙ ΚΛΕΟΒΟΥΛΟΥ

Κλεόβουλος Εὐαγόρου Λίνδιος, εἷς τῶν ἑπτὰ σοφῶν ... καὶ κάλλει διαφέρων τῶν κατ' αὐτόν, μετέσχε δὲ τῆς ἐν Αἰγύπτῳ φιλοσοφίας. ἔγραψεν ᾄσματα καὶ γρίφους εἰς ἔπη Γ.

ΠΕΡΙ ΚΛΕΟΒΟΥΛΗΣ

Κλεοβουλίνη Λινδία, θυγάτηρ Κλεοβούλου τοῦ σοφοῦ· ἔγραψεν ἔπη καὶ γρίφους, καὶ τὸ ἀδελφοῦ ὡς τὸ ἑαυτῆς αἴνιγμα, τὸ ἡ ἀρχὴ εἷς ὁ πατήρ, παῖδες δὲ δυώδεκα· τῶν δὲ ἑκάστῳ παῖδες, τριάκοντα ...

ΠΕΡΙ ΚΛΕΟΜΒΡΟΤΟΥ

Κλεόμβροτος, Ἀμβρακιώτης τὸ γένος (φίλος ἦν τοῦ Πλάτωνος ὁ Ἡπείρου) ἐντυχὼν τῷ τοῦ Φαίδωνι τῷ περὶ ψυχῆς

τῷ διαλόγῳ Πλάτωνος, καὶ μαθὼν ὡς ἄμεινόν ἐστι τῇ ψυχῇ ὁ χωρισμὸς τοῦ σώματος, ἔρριψεν ἑαυτὸν ἀπὸ τοῦ τείχους, καὶ ὥσπερ ἔλεγεν, ἵνα δέξηται ἡ ψυχὴ αὐτοῦ ἐξελθεῖν χωρὶς τοῦ σώματος.

ΠΕΡΙ ΚΟΡΝΟΥΤΟΥ.

Κορνοῦτος Λεπτίτης (ἡ δὲ Λέπτις πόλις Λιβύης) φιλόσοφος γεγονὼς ἐν Ῥώμῃ ἐπὶ τοῦ Νέρωνος καὶ πρὸς αὐτοῦ ἀναιρεθεὶς σὺν τῷ Μουσωνίῳ. ἔγραψε δὲ πολλὰ φιλόσοφα καὶ ῥητορικά.

ΠΕΡΙ ΚΡΑΤΗΤΟΣ.

Κράτης, Ἀσκώνδου, Θηβαῖος, ἐκ τῆς Βοιωτίας τὸ γένος, μαθητὴς Διογένους καὶ Βρύσωνος τοῦ Ἀχαιοῦ. ὅστις φιλοσοφήσας ὅλως τὴν κυνικὴν φιλοσοφίαν, λαβὼν τὰ ὑπάρχοντα αὐτῷ, ἔρριψε τῷ δήμῳ, κηρύξας οὕτω· Κράτης ἀπολύει τὸν Κράτητα, καὶ τὸ Κράτητος κρείττων ὁ Κράτης. καὶ τὰ χρήματα αὐτοῦ εἰς τὴν μηδὲν μανθάνοντα, μαθόντα δὲ ἔτι χρήσιμα εἰς τὸ μέλλοντα ἀπέθανεν ἐν τῇ Βοιωτίᾳ, μέλλει γὰρ κελεύσαντι τὸ ἀπέθανεν ὅτι καὶ μανθάνειν ἐν παισὶ καὶ μάθοιμι ἂν ἀπὸ τοῦ ἀποθανεῖν. ἔτερος δὲ ὁ ἕτερος Κράτης Τιμοκράτους, Μαλλώτης, φιλόσοφος στωικός, ὃς ἐπεκλήθη Ὁμηρικὸς καὶ κριτικός, διὰ τὴν περὶ τὰς γραμματικὰς καὶ ποιητικοὺς λόγους αὐτοῦ ἐπιστήμην, σύγχρονος Ἀριστάρχου τοῦ γραμματικοῦ, ἐπὶ τοῦ Φιλομήτορος Πτολεμαίου. συνέταξε διόρθωσιν Ἰλιάδος καὶ Ὀδυσσείας ἐν βιβλίοις Θ καὶ ἄλλα.

ΠΕΡΙ ΚΡΙΤΩΝΟΣ.

Κρίτων, Ἀθηναῖος φιλόσοφος, Σωκράτους μαθητὴς ὃς καὶ γνησίως διετέθη πρὸς Σωκράτην καὶ τι πρὸ τοῦ χρόνου τελευτῆς αὐτοῦ ἔγραψε Σωκράτους ἀπολογίαν.

Λ

ΠΕΡΙ ΛΑΔΩΝΟΣ ΤΟΥ ΠΟΤΑΜΟΥ.

Λάδων, ὁ ἐν Ἀρκαδίᾳ ποταμός, τῇ Γῇ συγγενόμενος, γεννήσας Δάφνην παρθένον ὡραίαν τῷ εἴδει. ταύτης ἐρασθεὶς ὁ Ἀ-

φύλλων, ἐδίωκεν αὐτήν· ἡ δὲ συλλαμβάνεσθαι μέλλουσα, ηὔξατο τῇ μητρὶ αὐτῆς Γῇ· ἡ δὲ χανοῦσα, ὑπεδέξατο αὐτήν· ἡ Γῆ δὲ Ἀπόλλωνα παραμυθουμένη, ἀμοιβὴν τῆς κόρης φυτὸν ἀνέδωκεν, ὃ καὶ Δάφνη καλεῖται· ἔστι δὲ ἀειθαλές, καὶ μάλιστα μαρτύριον ἔστω καὶ ἡ κόρη ἄφθαρτος ἐκ τοῦ Ἀπόλλωνος ἐμεινε. Ἀπόλλων δὲ ἐκ τοῦ αὐτοῦ φυτοῦ τῶν φύλλων, στέφανον ποιήσας ἐστεφανώσατο, διὰ τὸ τῆς ἀμοιβῆς χάριν ἐστιν· ὅθεν καὶ τὰ ἐν τῷ ναῷ τοῦ Ἀπόλλωνος στέμματα ἀπὸ δάφνης ἦσαν κατεσκευασμένα· ὅθεν λαβόντα ἐπὶ τὸ μαντεῖον, ἐν ἱεροτάτῳ Ἀπόλλωνος δάφνης ἐκ[illegible] καὶ ταῦτα μὲν τὰ μυθικά· τὸ δ' ἀληθὲς ἄλλως ἔχει· οἱ χρησμολόγοι καὶ μάντεις δάφνης φύλλοις στέφονται, ὡς ἀειθαλοῦς ὄντος τοῦ φυτοῦ καὶ ἀλεξικάκου, καὶ οὐ χρῆσθαι τοὺς χρησμοὺς λέγοντες, καὶ λαμβάνοντες τι ἐξ αὐτοῦ, καὶ οὐ διατεταγμένοι, τὸ μῦθον ἐπέθηκαν, ὅτι διαπορθένοι [illegible] ὑπὸ τοῦ τοῦ στεφανοῦσθαι δάφνη, καὶ λέγειν τοὺς χρησμοὺς, ἔχουσι τὰς τροφάς.

ΠΕΡΙ ΛΑΚΡΑΤΕΙΔΟΥ

Λακρατείδης, ἀρχαῖος ἄρχων Ἀθήνησιν· ὡς καὶ Φιλόχορος. Ἦρξε δὲ ἐπὶ τῶν χρόνων Δαρείου ἐν ᾧ ἔπεσεν χιὼν τοσαύτη, καὶ ἐπεπήγει πάντα, ὡς μὴ δύνασθαί τινα προϊέναι· ὅθεν τὰ ψυχρὰ πάντα Λακρατείδας ἐκάλουν.

ΠΕΡΙ ΤΩΝ ΛΑΚΩΝΙΚΩΝ ΕΦΗΒΩΝ ΤΩΝ ΞΑΙΝΟΜΕΝΩΝ ΤΑΙΣ ΜΑΣΤΙΞΙΝ

Οἱ Λακεδαιμόνιοι πρὸς καρτερίαν γυμναζόμενοι, ἑορτὴν ἐποίουν, ἐν ᾗ ἐμάστιζον ἀλλήλους, καὶ ἀνδρείαν τινὰ ἐκ τούτου ποιεῖσθαι ἐδόκουν· ἵνα καρτερικῶς ἔχωσι περὶ τὰς πληγάς. Ἐγίνετο δὲ ἐν Λακωνικῇ ἐν τῇ ἑορτῇ τῶν μαστίγων τῆς Ἀρτέμιδος· ταύτην γὰρ λέγουσι παρθένον θεὰν καρτερικὴν γὰρ ἡ θεὸς, καὶ ἐστερημένη τάσης ἡδονῆς καὶ ἐμπαθείας· αἱ δὲ ἐν τούτῳ παρὸν, ὅτι τε παῖδας ἐπὶ τοῦ βωμοῦ ἔξαινον τῶν ἐλευθέρων καὶ τοῦτο, εἰδέναι αὐτοὺς ὑπὸ τὴν βωμοῦ ἔξαινον τῶν ἐλευθέρων· καὶ τοῦτο, εἰδότες τοὺς ἀπομονητικῶς καὶ καρτερικῶς ἔχειν τὰς μάστιγας· καὶ τὸ μὴ ἀλγήσαντας, ἀλλὰ γενναίως ἐνεγκόντα, ἆθλον ἐδίδοσαν.

ΠΕΡΙ ΛΑΜΙΑΣ

Λάμια Βήλου καὶ Λιβύης θυγάτηρ· ταύτης ἐρασθῆναί φασι τὸν Δία, μετενεγκεῖν δὲ αὐτὴν ἀπὸ Λιβύης εἰς Ἰταλίαν, ἀφ' ἧς καὶ πόλις ἐν Ἰταλίᾳ Λαμία προσηγόρευται· ὅθεν αὐτῇ συν-

ἐλθὼν ὁ Ζεὺς, ἵνα λάθῃ τὴν Ἥραν ἤδη ζηλοτυποῦσαν τὴν Λαμίαν, τὰ γεννώμενα αὐτῆς παιδία ἀπώλει· ἡ δ' ἀποθνήσκοντα αὐτῆς τὰ παιδία θρηνοῦσα, τὰ τῶν ἄλλων παιδία διὰ φθόνον ἀναλίσκουσα ἀπώλει· διὰ τοῦτο καὶ τὰς τίτθας ἐκφοβείσας τὰ βρέφη, καλεῖν τὴν αὐτὴν, τὴν Λάμιαν. μυθεύεται δὲ ὡς αὐτὴν ἀεὶ ἀγρυπνεῖν βουλήσει Ἥρας, ἵνα καὶ ἡμέρας καὶ νυκτὸς ἐν τῷ πένθει ᾖ, ὡς δ' αὐτὴν ἐλέησεν ὁ Ζεὺς, ἀφαιρετοὺς αὐτῆς τοὺς ὀφθαλμοὺς ἐποίησεν, ὅπως ἐν αὐτῇ ᾖ ἐξαιρεῖν καὶ πάλιν θεῖναι. λέγεται δὲ καὶ ἰσχύειν παρὰ Διὸς καὶ τι μεταμορφοῦν εἰς ὅ, τι ἂν θέλῃ.

ΠΕΡΙ ΛΑΜΠΕΤΙΑΣ.

Λαμπετία, καὶ Φαέθουσα, Ἡλίου καὶ Νεαίρας θυγατέρες, ποιμένες τῶν τοῦ Ἡλίου βοῶν ἐν Σικελίᾳ τελέθουσαι.

ΠΕΡΙ ΤΗΣ ΛΑΟΔΑΜΕΙΑΣ.

Λαοδάμεια, ἡ Ἀκάστου, φίλανδρος τινὶς, καὶ μὴ ἀνεχομένη ζῆν μετὰ τὸν τοῦ ἀνδρὸς θάνατον· ἀλλ' ὥς λέγεται εὔχεται τοῖς θεοῖς Πρωτεσίλαον. καὶ μετὰ θάνατον ἰδεῖν τῇ γυναικὶ καὶ μόνον Ἀφροδίτης, ἔπειτα τὰς κατοικούσας, ἀπελθὼν καὶ ἀπελθὼν, ὅμως ἐκείνου ἀγάλματι ἀντὶ ἀξιοχρέως· αὐτήν ποτε δὲ, φασὶ, μὴ ὑπομεῖναι αὐτὴν, ζῆν δὲ διεχρήσατο ἑαυτήν. ἕτεροι δ' ἄλλως φασὶ τὴν Λαοδάμειαν καὶ ποθοῦσαν τὸν Πρωτεσίλαον, ἐρωτικὸν πάθος, χολῆς Ἀφροδίτης ἐγγελάσαντος δὲ τῷ πάθει, ὁ μόνον χελεύειν ἐκείνης, φασὶν, ἀλλὰ καὶ ἀναγκαζομένη πρὸς τοῦ πατρὸς, γάμῳ δευτέρῳ ζευχθῆναι, ἵνα ἄπιστα τὰ ἐρῶν, ἀλλὰ κατηχομένη συνεχῶς μετὰ τὸ ἀνδρὸς, μᾶλλον ηὐξήθη τὸν ἔρωτα. ὁ ποθοῦσα, φασὶ, συνουσίαν, ὡς τὴν πρὸς τοὺς ζῶντας ὁμιλίαν καὶ ἐξέλιπεν ὑπὸ ἐπιθυμίας. μεμαθηκότες δὲ ταῦτα, διὰ τὸ ἐκείνης φίλανδρον, ἀποβαλόντες αὐτὴν, ὡς οἶκος, τὸν ἀνδρὰ καὶ συνοικίᾳ δοκεῖν αὐτοῦ καὶ θανόντι.

ΠΕΡΙ ΛΑΠΙΘΩΝ.

Λαπίθαι, γένος ἦν ἡρώων ἐν Θεσσαλίᾳ, Κενταύροις πολεμοῦντες ἀεί ποτε. Λαπίθης υἱὸς Ἀπόλλωνος, καὶ Στιλβῆς Νύμφης, ἔσχηκε τὴν τοῦ γένους ἀρχήν.

ΠΕΡΙ ΛΕΥΚΟΘΕΑΣ.

Λευκοθέα, ἡ Ἰνὼ, ὅτι ἐμμανὴς γενομένη, διὰ τοῦ λευκοῦ πεδίου θέουσα, ὃ ἐστὶ ἀπὸ τῆς Μεγαρίδος, ῥίπτει εἰς τὴν θάλασσαν ἑαυτὴν μετὰ Μελικέρτου. καὶ οὐ μόνον ἡ Λευκοθέα Ἰνὼ φασιν, ἀλλὰ καὶ τὰς Νηρηΐδας, Λευκοθέας ὀνομάζουσι.

ΠΕΡΙ ΛΕΥΚΩΣΙΑΣ.

Λευκωσία, μία τῶν Σειρήνων. ἡ δὲ Παρθενόπη, ἀφ' ἧς ἐν αὐταῖς Παρθενόπην λέγουσι, διὰ τὸ ἔχειν παρθένου μικρὰν φωνήν· ἢ διὰ τὸ ὁμοίως παρθένου μικρᾶ. Λιγεῖα δὲ τῇ ᾠδῇ, ἡ Λευκωσία ἐχρῆτο λευκῇ ὠτία· ἢ λευκοῦ τινος ὄψεως, ἢ τὰ λευκὰ ὦτα ἔχουσα.

ΠΕΡΙ ΤΟΥ ΛΕΟΝΤΟΣ ΤΟΥ ΕΝ ΟΥΡΑΝΩ.

Λέων, ὁ ἐν τῷ οὐρανῷ· ἔστι μὲν τῶν ἐπιφανῶν ἄστρων. δοκεῖ δ' ὑπὸ Διὸς τιμηθῆναι τοῦτο τὸ ζώδιον, διὰ τὸ τῶν τετραπόδων ἡγεῖσθαι. τινὲς δέ φασιν, ὅτι Ἡρακλέους πρῶτος ἆθλος ἦν εἰς τὸ μνημονευθῆναι· φιλόδοξος γὰρ, μόνον τοῦτον οὐχ ὅπλοις ἀνεῖλεν, ἀλλὰ συμπλακεὶς ἀπέπνιξε. λέγει δὲ περὶ αὐτοῦ καὶ Πείσανδρος ὁ Ῥόδιος, ὅθεν καὶ τὴν δορὰν αὐτοῦ ἔχει, ὡς ἔνδοξον ἔργον πεποιηκώς.

Ἄλλως. Λέων τις ἦν τῆς Νεμέας, (χώρα δὲ αὕτη τῆς Πελοποννήσου,) ἄτρωτος σιδήρῳ, καὶ βολαῖς τοξικαῖς, ὃ τῆς ἐν τῇ χώρᾳ ἀπεγεώργει ἐλυμαίνετο. Εὐρυσθεὺς δὲ βασιλεύων τῶν Μυκηνῶν, καὶ μισῶν τὸν Ἡρακλέα, πέμπει αὐτὸν ἐπὶ ἀναίρεσιν τοῦ λέοντος. καὶ ἐλθὼν ὁ Ἡρακλῆς κατέλαβεν αὐτόν· καὶ οἱ Θεοὶ δὲ λαμπρὰν ἐπίδοξον ποιῆσαι τὸν ἀγῶνα τοῦ Ἡρακλέους, δι' ἄστρων ἐζωγράφησαν ἐν τῷ οὐρανῷ τὸν λέοντα, καὶ νῦν ἐστιν ὁ λέων ἐν ἄστροις.

ΠΕΡΙ ΛΗΔΑΣ.

Λήδα ἡ Αἰτωλοῦ ἦν, Πλευρωνία· παῖς μὲν Θεστίου, Τυνδάρεω δὲ, καὶ τοῦ Γενετέου, παράκοιτις τοῦ ἐν Λακεδαίμονι· ἧς παῖδες Κάστωρ καὶ Πολυδεύκης· περὶ ὧν ἀρκούντως ἐν τῷ περὶ Διοσκούρων εἴρηται.

ΠΕΡΙ ΤΗΣ ΛΗΤΟΥΣ

Πρόδικος Κεῖος, ὁ ἐκ τῆς Κέω τῆς νήσου, πόλεως δὲ Ἰουλίδος, φιλόσοφος φυσικὸς καὶ σοφιστής, σύγχρονος Δημοκρίτου τοῦ Ἀβδηρίτου, καὶ Γοργίου, μαθητὴς Πρωταγόρου τοῦ Ἀβδηρίτου. ἐν δ' Ἀθήναις κώνειον πιὼν ἀπέθανεν, ὡς διαφθείρων τοὺς νέους. φέρεται δὲ καὶ βιβλίον Προδίκου ἐπιγραφόμενον Ὧραι· ἐν ᾧ πεποίηκε τὸν Ἡρακλέα τῇ ἀρετῇ καὶ τῇ κακίᾳ συντυγχάνοντα, καὶ καλούσας ἑκατέρας ἐπὶ τὰ ἤθη αὐτῶν· καὶ προσκλῖναι τῇ ἀρετῇ τὸν Ἡρακλέα, καὶ τοὺς ἐκείνης ἱδρῶτας προκρῖναι τῶν προσκαίρων τῆς κακίας ἡδονῶν.

ΠΕΡΙ ΠΡΟΚΛΟΥ ΤΟΥ ΣΤΩΪΚΟΥ ΦΙΛΟΣΟΦΟΥ.

Πρόκλος Μαλλώτης ἐκ Κιλικίας, φιλόσοφος Στωϊκός, ἔγραψεν ὑπόμνημα τοῦ Διογένους σοφισμάτων· καὶ πρὸς Ἐπίκουρον. καὶ ἕτερος Μαλλώτης φιλόσοφος, Στωϊκὸς καὶ αὐτός· ἔγραψε κατὰ Ἐπικούρου βιβλία δ'. περὶ προνοίας βιβλία β'.

ΠΕΡΙ ΠΡΟΚΛΟΥ ΤΟΥ ΛΥΚΙΟΥ

Πρόκλος ὁ Λύκιος, μαθητὴς Συριανοῦ· ἀκουστὴς δὲ καὶ Πλουτάρχου τοῦ Νεστορίου τοῦ φιλοσόφου, καὶ αὐτὸς φιλόσοφος Πλατωνικός. ἔγραψε πάνυ πολλὰ φιλόσοφά τε καὶ γραμματικά. ὑπόμνημα εἰς πάντα τοῦ Ὁμήρου· ὑπόμνημα εἰς τὰ Ἡσιόδου ἔργα καὶ ἡμέρας· περὶ χρηστομαθείας, βιβλία δʹ· περὶ ἀγωγῆς ... εἰς τὴν πολιτείαν Πλάτωνος βιβλία τέσσαρα· εἰς τὴν Ὀρφέως θεολογίαν· συμφωνίας Ὀρφέως, Πυθαγόρου καὶ Πλάτωνος περὶ τὰ λόγια, βιβλία δέκα· περὶ τῶν παρ' Ὁμήρῳ θεῶν· ἐπιχειρήματα κατὰ Χριστιανῶν ιηʹ, καὶ μητρωακὴν βίβλον· ἔτι δὲ περὶ τῶν θεῶν θεολογίαν. ἔγραψε καὶ πολλὰ ἄλλα, ἅπερ ἐν ὑστέροις.

ΠΕΡΙ ΠΤΟΛΕΜΑΙΟΥ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ

Πτολεμαῖος ὁ Κλαύδιος, χρηματίσας Ἀλεξανδρεὺς φιλόσοφος, γεγονὼς ἐπὶ τῶν χρόνων Μάρκου τοῦ βασιλέως. Οὗτος ἔγραψε μηχανικὰ βιβλία γʹ· περὶ φάσεως καὶ ἐπισημασιῶν ἀπλανῶν βιβλία βʹ· ἅπλωσιν ἐπιφανείας σφαίρας· κανόνα πρόχειρον· τὸν μέγαν ἀστρονόμον, ἤτοι σύνταξιν· καὶ ἄλλα. ὅτι δὲ ὡς ἡ τῶν Πτολεμαίων προσηγορία κατηνέχθη, ... ἐξ ἀρχῆς τοῦ γένους, ἀπὸ Διονύσου τε καὶ Ἡρακλέους κατάγοντες ... Ἡρακλεῖδαι γὰρ καὶ αὐτοί. Σάτυρος τοὺς τῶν Ἀλεξανδρέων δήμους ἱστορῶν, ἀρξάμενος ἀπὸ Φιλοπάτορος τοῦ καὶ Πτολεμαίου προσαγορευθέντος, τοῦτον μηνύει Διόνυσον ἐσχηκέναι ἀρχηγόν· ὅθεν καὶ φυλὴν ὁ Πτολεμαῖος πρώτην κατέστησε ... Διονυσίαν. λέγει δὲ ὁ Σάτυρος οὕτως· Διονύσου καὶ Ἀλθαίας τῆς Θεστίου γίνεται Δηιάνειρα· τῆς δὲ καὶ Ἡρακλέους, τοῦ Διός, Ὕλλος· τοῦ δὲ, Κλεοδαῖος· τοῦ δὲ, Ἀριστόμαχος· τοῦ δὲ, Τήμενος· τοῦ δὲ, Κεῖσος· τοῦ δὲ, Μάρων· τοῦ δὲ, Θέστιος· τοῦ δὲ, Ἄκοος· τοῦ δὲ, Ἀριστομίδας· τοῦ δὲ, Καρανός· τοῦ δὲ, Κοῖνος· τοῦ δὲ, Τυρίμμας· τοῦ δὲ, Ἀλκέτας· τοῦ δὲ, Ἀμύντας· τοῦ δὲ, καὶ Λάγου, Βόκρος· τοῦ δὲ, Μελέαγρος· τοῦ δὲ, Ἀρσινόη· τῆς δὲ καὶ Λάγου Πτολεμαῖος ὁ Σωτήρ· τοῦ δὲ, καὶ Βερενίκης, Πτολεμαῖος ὁ Φιλάδελφος· τοῦ δὲ, καὶ Ἀρσινόης, Πτολεμαῖος ὁ Εὐεργέτης· τοῦ δὲ, καὶ Βερενίκης τῆς Μάγα τοῦ ἐν Κυρήνῃ βασιλεύσαντος, Πτολεμαῖος ὁ Φιλοπάτωρ. ... Πτολεμαίου τοῦ Φιλαδέλφου ... πρὸς Διόνυσον τοῖς ἐν Ἀλεξανδρείᾳ βασιλεύσασι συγγένεια, ... ἡ δὲ τῶν Πτολεμαίων βασιλείας ἀρχὴ ... Δι-

Δαρεῖον ἐβασίλευσεν Ἀρταβάνης μῆνας ἑπτά· μετὰ δὲ Ἀρταβάνον, ἐβασίλευσεν Ἀρταξέρξης ὁ μακρόχειρ ἔτη τεσσαρακοντα- τέσσαρα· ἐφ' οὗ Σοφοκλῆς καὶ Ἡράκλειτος, καὶ Ἀναξαγόρας, καὶ Πυθαγόρας, καὶ Θουκυδίδης, καὶ Εὐριπίδης, καὶ Ἡρόδοτος, καὶ Ἐμπεδοκλῆς, καὶ Διογένης, καὶ Ζήνων, καὶ Φερεκύδης, καὶ Ἀρίσταρχος, καὶ Ἱπποκράτης, καὶ Παρμενίδης, καὶ Πλάτων, καὶ Ἀριστοτέλης, καὶ Δημοσθένης, κατά τινας, ἐγνωρίζοντο, καὶ Σωκράτης, ὡς φιλόσοφος τῶν νόμων τῶν Ἑλλήνων, θανατωθεὶς, κώνειον πιὼν, ἐν τῷ δεσμωτηρίῳ. μετὰ δὲ Ἀρταξέρξην, ἐβασίλευσεν ἄλλος Ἀρταξέρξης, καὶ οἱ καθεξῆς ἕως Δαρείου Ἀρσάμου, ὃν Ἀλέξανδρος ὁ τῶν Μακεδόνων βασιλεὺς, ἕκτον ἄγων ἔτος τῆς βασιλείας, χειρωσάμενος, καθεῖλε· τῆς Περσῶν βασιλείας διαμεινάσης ἀπὸ Κύρου μέχρι Δαρείου ἔτη σλ'· τῆς δὲ τῶν Μακεδόνων βασιλείας κατασχούσης ἀπὸ Καρανοῦ ἕως Ἀλεξάνδρου, ἔτη υοά, καὶ τότε πληρωσάσης ἐν Βαβυλῶνι, διαιροῦνται τὴν βασιλείαν οἱ παῖδες αὐτοῦ καὶ μεγιστᾶνες. τῆς μὲν Μακεδονίας Φίλιππος ἐβασίλευσε, τῆς δὲ Ἀσίας πάσης, Ἀντίγονος. ἐκράτησε τῆς δὲ Συρίας καὶ Βαβυλωνίας καὶ Παλαιστίνης, Σέλευκος ἐβασίλευσεν ὁ Νικάνωρ· ὃς καὶ πόλεις κτίσας δύο εἰς τὸ μέρος Κιλικίας, καὶ ἄλλων ἐν Συρίᾳ, τὴν μὲν Σελεύκειαν ὠνόμασε, τὴν δὲ Ἀντιόχειαν· τὴν δὲ Λαοδίκειαν ἐν τῷ ἑαυτοῦ ὀνόματι καὶ τῷ αὐτοῦ υἱοῦ Ἀντιόχου, καὶ τῆς θυγατρὸς Λαοδικείας. καὶ οἱ μετὰ τῆς Συρίας βασιλεύσαντες μετὰ Ἀλέξανδρον, εἰσὶν οὗτοι. μετὰ Σέλευκον τὸν Νικάνορα, Ἀντίοχος ὁ υἱὸς αὐτοῦ ὁ ἐπικληθεὶς Σωτήρ· Ἀντίοχος ὁ Θεὸς· Σέλευκος ὁ Καλλίνικος· Ἀλέξανδρος, Ἀντίοχος, Σέλευκος ὁ Φιλοπάτωρ· Ἀντίοχος ὁ Ἐπιφανής· Ἀντίοχος ὁ Εὐπάτωρ· Δημήτριος Σέλευκος· Ἀλέξανδρος ὁ τοῦ Βάλα· Δημήτριος ὁ Νικάνωρ· Ἀντίοχος Τρύφων· Πτολεμαῖος· Ἀντίοχος ὁ Σιδήτης· Δημήτριος· Ἀντίοχος ὁ Γρυπός· Ἀντίοχος ὁ Κυζικηνός· Σέλευκος ὁ τοῦ Γρυποῦ· ἐφ' οὗ ἡ Ἀντιόχεια ὑπὸ Ῥωμαίων ἑάλω, καὶ ἡ τῆς Συρίας ἀρχὴ κατελύθη, διαμείνασα ἔτη σϛ'. τῆς δὲ Αἰγύπτου, Πτολεμαῖος ἐβασίλευσεν ὁ Λάγου· καὶ οἱ καθεξῆς Πτολεμαῖοι, ἕως Κλεοπάτρας θυγατρὸς Διονύσου. οἱ δὲ τῆς Αἰγύπτου βασιλεύσαντες μετὰ Ἀλέξανδρον, εἰσὶν οὗτοι. Πτολεμαῖος ὁ Λάγου· ἐφ' οὗ Μένανδρος ὁ κωμῳδοποιὸς ἐγνωρίζετο, καὶ Θεόφραστος ὁ φιλόσοφος· Πτολεμαῖος ὁ Φιλάδελφος· ἐφ' οὗ οἱ ἑβδομήκοντα Ἑβραίων σοφοὶ τὸν νόμον ἡρμήνευσαν· Πτολεμαῖος ὁ Εὐεργέτης· Πτολεμαῖος ὁ Φιλάδελφος ὁ υἱὸς αὐτοῦ· Πτολεμαῖος ὁ Φιλοπάτωρ· Πτολεμαῖος ὁ Ἐπιφανής· Πτολε-

λεμαῖος ὁ Φιλομήτωρ Πτολεμαῖος ὁ Εὐεργέτης Πτολεμαῖος ὁ Σωτὴρ Πτολεμαῖος ὁ Ἀλέξανδρος Πτολεμαῖος ὁ ἐκβληθεὶς ὑπὸ τοῦ Πτολεμαίου ὁ Διόνυσος Κλεοπάτρα ἡ τούτου θυγάτηρ, ἐφ' ἧς Αἴγυπτος ἑάλω. οἱ ἐπὶ κδ' τῆς ἑαυτῶν βασιλείας, ἐκράτησε Αὐγούστος, καθῃρέθη ἡ βασιλεία τῶν Πτολεμαίων διαρκέσασα ἔτη σπ'.

ΠΕΡΙ ΠΥΘΑΓΟΡΟΥ

Πυθαγόρας Σάμιος, φιλόσοφος παιδευθεὶς παρὰ Χαλδαίοις καὶ Αἰγυπτίοις. ὡς δὲ φησι Ἀριστόξενος ὁ Μουσικὸς, ὡς προσποιεῖται ἔγραψε δὲ μόνα βιβλία, ἅπερ εἰσὶ ταῦτα παιδευτικὸν πολιτικὸν φυσικὸν τρία, ὡς Πυθαγόρου. Λυσίδου(?) τοῦ Ταραντίνου μαθητοῦ αὐτοῦ γενομένου τοῖς δὲ ἐπὶ τὰ γνωστὰ ἦσαν μαθηταὶ δ' αὐτοῦ ἦσαν διαφορᾶς, ὧν οἱ μὲν ἦσαν περὶ θεωρίαν κατηγορήμενοι, οἵπερ ἐκαλοῦντο σεβαστικοὶ οἱ δὲ περὶ τὰ ἀνθρώπινα, οἵπερ ἐκαλοῦντο πολιτικοὶ οἱ δὲ περὶ τὰ μαθήματα, τὰ γεωμετρικὰ, καὶ ἀστρονομικὰ, οἵπερ ἐκαλοῦντο μαθηματικοί. τούτων οἱ μὲν αὐτῷ συγγινόμενοι τῷ Πυθαγόρᾳ, ἐκαλοῦντο Πυθαγορικοὶ οἱ δὲ τούτων μαθηταὶ, Πυθαγόρειοι οἱ δὲ ἄλλως ἔξω ζηλωταὶ, Πυθαγορισταί. οὗτοι ποιοῦσι ἀπαγγέλματα ... τῶν φιλοσοφίας ἐμάνθανον δόγματα καὶ μετὰ τῶν ἄλλων ... τοῦτο τὸ αἴνιγμα παρέδωκε, κυάμων μὴ γεύεσθαι ... διδόντες τὸ δίκαιον, δωροδοκοῦντες χρήματα οἱ γὰρ Ἀθηναῖοι ... λοι δικασταὶ, αὐτοὶ ψῆφον κυάμου ἐχρῶντο, ὡς κατακρίνειν τοῖς δικαστηρίοις φησὶν ὅτι ἐκ τῶν κυάμων τῶν ἐκ τοῦ δικαστηρίου μὴ ἐσθίειν.

ΠΕΡΙ ΠΥΡΡΩΝΟΣ

Πύρρων Πλειστάρχου, Ἠλεῖος φιλόσοφος ἦν ἐπὶ Φιλίππου τοῦ Μακεδόνος, κατὰ τὴν ρια' Ὀλυμπιάδα, καὶ ἐπέκεινα. ἦν πρότερον μὲν ὁ ζωγράφος, ὕστερον δὲ ὑπῆρξεν ἐπὶ φιλοσοφίαν, καὶ διήκουσε Βρύσωνος τοῦ Κλεινομάχου μαθητοῦ, εἶτα Ἀλεξάνδρου τοῦ Μητροδώρου μαθητοῦ τοῦ Χίου. καὶ ἐπιγέγραπται Πύρρων Φλειάσιος, Τιμάρχου παῖς, μαθητὴς Τίμωνος φιλόσοφος.

Ρ

ΠΕΡΙ ΤΗΣ ΡΕΑΣ, ΚΑΙ ΤΩΝ ΚΟΡΥΒΑΝΤΩΝ, ΚΑΙ ΤΩΝ ΕΚΤΟΜΩΝ ΤΩΝ ΦΡΥΓΩΝ.

ΡΕα γυνὴ Κρόνου μυθεύεται· ὃς, ἅπερ ἔτικτεν αὐτῇ παιδία, λαμβάνων κατέπινε· καὶ ὅτι ἐπὶ πολλοῖς τούτου γενομένοις, ἐ[illegible] ἡ Ῥέα, ὅτε δὴ ἐγέννησε τὸν Δία, ἡ Ῥέα, φοβηθεῖσα μήπως καὶ τὸ βρέφος τοῦτο καταποθὲν ἀπόληται, λίθον μὲν σπαργανώσασα, δέδωκε τῷ Κρόνῳ ὡς βρέφος καταπιεῖν· τὸν δὲ Δία κατέθετο ἐν τῇ Κρήτῃ, καὶ παρέδωκε τὸ βρέφος τοῦτο τοῖς Κορύβαντας καὶ τοῖς Κούρησιν· ὀρχοῦνται καὶ κροτοῦσι καὶ κτυποῦσι τὰ σκεύη αὐτῶν, καὶ [illegible] τὸν ἐκ τοῦ κλαυθμοῦ τὸ παιδίον ἦχον· ὡς μὴ μαθὼν ὁ Κρόνος τὸ κρεῖττον τὸ παιδίον, τοῦτο λαβὼν καταπίῃ. ἔθνος δ' εἰσὶν οἱ Κορύβαντες βακχευτὸν καὶ μανικόν· [illegible] τὸ κρύβειν τὸν Δία, Κρύβαντες, καὶ πλεονασμῷ τοῦ ο, Κορύβαντες. [illegible] Ῥέα ἐν τῇ Φρυγίᾳ γενόμενοι πλεῖστοί εἰσιν· καὶ οἱ πλεῖστοι [illegible] [illegible] ἑαυτοὺς ἀπὸ ξιφῶν, [illegible] καὶ αὐλοὶ δὲ αὐτοῖς ὅλως κατηύλουν αὐτοῖς, καὶ [illegible] πρὸς τὴν ἐκτομήν. [illegible] τὰ ὄργια τῆς Κυβέλης Ἕλληνες [illegible] τὴν Ῥέαν, καὶ Κυβέλην, [illegible]

Καὶ ἄλλως, [illegible] τῆς Ῥέας [illegible] [illegible] [illegible] [illegible] τυμπάνοις καὶ κυμβάλοις, καὶ [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] ζώων, [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible]

αὐ-

αὐτῇ, παραιτίαις ὅτι αἰτία τῆς ζωογονίας αὕτη γέγονε κατά τινα δὲ καὶ ἄλλους τινὰς τόπους. ἀλλὰ τὸ πλῆθος αὐτῆς περιτιθέασιν, ὡς τῇ τῶν ἄνθεν ποικιλίας, καὶ παντὸς χρώματος αὐτὴν γεγονέναι. ἔοικε δὲ ἡ εἰκὼν καὶ τὸ παρὰ Σύροις Ἀταργάτης, ἣν διὰ τὸ μελιφρονεῖν καὶ ἰχθύος ἀπέχεσθαι τιμῶσι. σημαίνουσι γὰρ τὰ μέλη ... τὴν βουλὴν τῆς αὐτῆς αἱρέσει ... Φρύγες ... ἀρχαίως ... καὶ ἔτι καὶ τῶν Γαλλῶν ... παρὰ τοῖς Ἕλλησι ... τοῦ Ὁμήρου ... ὁ Κρόνος λέγεται καταπίνειν ... τὰ τῆς Ῥέας κατὰ γενόμενα τέκνα ... ὁ Κρόνος λέγων, ... καὶ τὸ ... Ῥέα φασί, γέννησιν αὐτῇ τὸ Διός, λίθον ... τῷ Κρόνῳ, ... τὸν δὲ Δία τρέφουσι, ... τοῦ κόσμου ... ὁ μῦθος ... τοῦ κόσμου ... ἐπίφημι ... πάντα.

ΠΕΡΙ ΡΗΣΟΥ

Ῥῆσος, κατὰ μὲν Ὅμηρον, Ἠϊονέως, ὡς δέ τινες, ... Στρυμόνος τοῦ κατὰ Θρᾴκην ποταμοῦ, καὶ Εὐτέρπης Μούσης ... λέγουσι δὲ καὶ χρησμὸν ... Τροίᾳ ... φάγωσιν οἱ ἵπποι αὐτοῦ, καὶ τοῦ Ξάνθου πίωσιν ... ὅτι μιᾷ ἡμέρᾳ ... ὁ Ῥῆσος μεγάλα κακὰ ... Ἀχαιοῖς.

ΠΕΡΙ ΡΟΙΟΥΣ

Ῥοιώ, Σταφύλου τοῦ ἐπὶ Διονύσου θυγάτηρ γίνεται, ἧ ... ὁ Ἀπόλλων ... Σταφύλου, ... τῆς λάρνακος ...

Ἐυβοιαν ἐλθὼν τε ἄντρον, πολλὰ ζηλοῖ καὶ Ἄπιον καλοῦ, διὰ τὸ ἀποθέσθαι δι' αὐτόν. τοῦτο δὲ ὁ Ἀπόλλων ἐπιγνοὺς εἰς Δῆλον ὡς Δυκέστρω γάμας, γεννᾷ τὰς Οἰνοτρόπους, Οἰνώ, Σπερμὼ, καὶ Ἐλαΐδα, αἷς Διόνυσος ἐχαρίσατο ὁπότε βούλοιτο οἶνον, σπέρματα, καὶ ἔλαιον λαμβάνειν.

ΓΡΑΜΜΑΤΙΚΟΙ.

ΠΕΡΙ ΡΗΓΙΝΟΥ ΤΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ

Ρηγῖνος γραμματικὸς, ἔγραψε τὸ λεγόμενον Πολυμνῆμα.

ΠΕΡΙ ΡΙΑΝΟΥ ΤΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ

Ριανὸς, Κρὴς γραμματικὸς, ἐκ τῆς Βήνης πόλεως ἢ ἐκ τῆς Κρήτης τινὸς ἢ Κεραίτης ἄλλοι ἢ Ἰθώμης τῆς Μεσσήνης ποταμοῦ ἱστόρησαν. γέγονε ἢ σύγχρονος Ἐρατοσθένει. ἔγραψεν ἔμμετρα ποιήματα, Ἡρακλειάδα ἐν βιβλίοις δ',

ΙΑΤΡΟΙ.

ΠΕΡΙ ῬΟΥΦΟΥ ΤΟΥ ΙΑΤΡΟΥ

Ροῦφος, Ἐφέσιος ἰατρὸς, γεγονὼς ἐπὶ Τραϊανοῦ σὺν Κρίτωνι. φέρεται αὐτοῦ βιβλία πλεῖστα. ἐξ ὧν καὶ ταῦτα περὶ διαίτης, ὧντινα περὶ διαίτης πλεῖστον, ἓν, ἤτοι ἐφοδίων περὶ τραυματικῶν φαρμάκων, ἓν περὶ τραυματισμοῦ ἔρθρων, ἓν περὶ σύκων, ἓν περὶ ἀρχαίας ἰατρικῆς, ἓν περὶ γάλακτος, ἓν περὶ οἴνου καὶ μέλιτος, ἓν περὶ τῶν τοῦ ἀνθρώπου μορίων, δύο περὶ ὀστῶν, ἓν.

Σ

ΠΕΡΙ ΤΟΥ ΣΑΛΜΩΝΕΩΣ, ΚΑΙ ΤΩΝ ΕΚ ΤΗΣ ΒΥΡΣΗΣ ΒΡΟΝΤΩΝ

Σαλμωνεὺς, Αἰόλου μὲν ὁ υἱὸς καὶ Ἐναρέτης, ἀδελφὸς Δηΐονος, καὶ Κρηθέως βασιλεὺς δ' Θετταλῶν. οὗτος ἀσεβὴς εἰς τοὺς θεοὺς γενόμενος, ἀντιβροντᾶν ἐπειρᾶτο βύρσας ξηρὰς τε καὶ σκληρὰς καὶ λέβητάς τινας μετὰ τῶν βυρσῶν κτυπῶν, ἦχον ἀπετέλει· μετὰ χερσί τε βαστάζων καιομένας λαμπάδας, ἐμεγαλαύχει

καθάπερ Ζεὺς βροντᾷ τε καὶ ἀστράπτει, ὑπὸ δὲ ἀντιβροντῆσαι καὶ ἀντιστράπτειν τῷ Διὶ ἐμηχανᾶτο, ἕως ὑπὸ τῷ Διὸς κεραυνῷ κατεφλέχθη. Θυγατέρα κατέλιπε Τυρώ, ἣ ἐπιθυμήσασα τοῦ Ἐνιπέως ποταμοῦ ... ὑπὸ τῷ Κρηθέως, ἀπὸ τοῦ ἐγγὺς ... ποταμοῦ ὁμοιωθεὶς Ποσειδῶν, ... ποταμοῦ Ἐνιπέως. τούτῳ δὲ τῷ ποταμῷ ... Τυροῦ, καὶ συνέλαβε Πελίαν, καὶ συγγένετο ἀντὶ Ἐνιπέως τῇ Τυροῖ ... Νηλέα, ... ἐγαμήθη δὲ αὐτὴ ὑπὸ Κρηθέως, ... ἐκ Κρηθέως τῇ δὲ ... Τυρώ ... ἐκ Ποσειδῶνος ... ὕστερον δὲ ... αὐτῆς τοῦ Κρηθέως ... Ὅμηρος μέντοι ... περὶ τοῦ Σαλμωνέως, ἀλλὰ ἀμύμονα αὐτὸν καλεῖ.

ΠΕΡΙ ΤΟΥ ΣΑΡΔΑΝΑΠΑΛΟΥ

Σαρδανάπαλος υἱὸς Ανακυνδαράξου, βασιλεὺς Νίνου, Περσικῆς χώρας, ὃς ἐν μιᾷ ἡμέρᾳ Ταρσὸν καὶ Ἀγχιάλην ἔκτισεν, ἐκτράπελος τοῖς τρυφαῖς· φασὶ γὰρ ἐγχρίω αὐτὸν καλλωπίζεσθαι, ... καὶ ... ὑπὸ δὲ Ἀπολλόδωρος δὲ ... Ἀριστόβουλος δὲ ... φασιν ἐγγεγράφθαι ἐπὶ τῷ τάφῳ αὐτοῦ, Ασσυρίοις γράμμασι· Σαρδανάπαλος Ἀνακυνδαράξου παῖς, Ταρσὸν τε καὶ Ἀγχιάλην ἔδειμεν ἐν ἡμέρᾳ μιᾷ. πίνε, ἔσθιε, ὡς τἆλλα τούτου οὐκ ἄξια. ... Ἑλλάνικος ἐν τοῖς Περσικοῖς, δύο φησὶ Σαρδαναπάλους γεγονέναι· ... αὐτῷ Περσῶν βασιλεῖ, ... ἐν μιᾷ ἡμέρᾳ ... εὐδαιμονίαν. λέγει δὲ ... αὐτῷ, ... Ταρσὸν καὶ Ἀγχιάλην. ... τρυφαλος, καὶ τὸ ... ἐκτράπελος, καὶ τὸ ... ἐπιγεγράφθαι τούτῳ τὸ ἐπίγραμμα· λέγουσι ἐν τῷ τάφῳ αὐτοῦ ἐπιγεγράφθαι τοῦτο τὸ ἐπίγραμμα·

Εὖ εἰδὼς ὅτι θνητὸς ἔφυς, σὸν θυμὸν ἄεξε,
Τερπόμενος θαλίῃσι, θανόντι σοι οὔτις ὄνησις.
Καὶ γὰρ ἐγὼ σποδός εἰμι, Νίνου μεγάλης βασιλεύσας.
Ταῦτ' ἔχω, ὅσσ' ἔφαγον, καὶ ἐφύβρισα, καὶ μετ' ἔρωτος
Τέρπν' ἔπαθον· τὰ δὲ πολλὰ καὶ ὄλβια κεῖνα λέλειπται.
Ἥδε σοφὴ βιότοιο παραίνεσις, οὐδέποτ' αὐτῆς
Κεκτήσθω δ' ὁ θέλων σωρὸν τὸν ἀπείρονα χρυσοῦ.

ΠΕΡΙ ΣΑΡΠΗΔΟΝΟΣ

Σαρπηδὼν, ὃς ἅμα τῷ Γλαύκῳ ἡγεμόνευε τῶν Λυκίων. Βελλεροφόντου παῖδες, Ἴσανδρος, καὶ Ἱππόλοχος, καὶ Λαοδάμεια· τῇ-

τούτων Ἴσανδρος μὲν ἀπώλετο μαχόμενος. Ἱππολόχῳ δ' παῖς ὁ Γλαῦκος. Λαοδαμείῃ δὲ παρελέξατο Ζεὺς, ἡ δ' ἔτεκεν ἀντίθεον Σαρπηδόνα χαλκοκορυστὴν· ὥστε ἀνεψιὸς ὁ Γλαῦκος τῷ Σαρπηδόνι· καὶ οὕτω μὲν ὁ Ποιητής. οἱ δὲ νεώτεροι Εὐρώπης καὶ Διὸς υἱὸν Σαρπηδόνα λέγουσι, καὶ ἀδελφὸν αὐτὸν ποιοῦσι Μίνωος, ἄλλοι ἐκείνου Σαρπηδόνα γενεαλογοῦσι παλαιότερον, ὡς φασιν οἱ ἀκριβέστεροι.

ΠΕΡΙ ΣΕΙΡΗΝΩΝ.

ΣΕιρῆνες, θυγατέρες γεγόνασι Τερψιχόρης Μούσης, καὶ Ἀχελώου, ποταμοῦ μεταξὺ ῥέοντος Αἰτωλίας καὶ Ἀκαρνανίας, τὴν καὶ Ἀμβρακίαν, ναίουσι δὲ Νησιδίους ἐν πόντῳ, κατὰ μὲν Ὅμηρον, δύο, καὶ ὀνόματα ἱστοροῦνται· κατὰ δὲ τοὺς ἄλλους ποιητὰς, τρεῖς· καὶ ὀνόματα αὐτοῖς, Παρθενόπη, Λίγεια, καὶ Λευκωσία· κατὰ δέ τινας, τέσσαρες, Θελξιόπη, ἡ Θελξιέπεια, Μολπή, Ἀγλαόφωνος. παραπλεύσαντος δὲ αὐτὰς τοῦ Ὀδυσσέως, καὶ μὴ θελχθέντος ὑπὸ τῆς μελῳδίας, ἀχθεσθεῖσαι τῇ ἀθυμίᾳ, κατέῤῥιψαν ἑαυτὰς εἰς τὴν θάλασσαν καὶ ἀπεπνίγησαν, ἄλλη ἀλλαχῇ ἐξεβράσθησαν· ὧν ἡ Παρθενόπη πρὸς τῇ Νεαπόλει ἐκβρασθεῖσα, πόλιν Καμπανῶν ἀδελφήν, καὶ ἐκεῖ ταφεῖσα προσμένει, ὥστε καὶ τὴν πόλιν κληθῆναι Παρθενόπην. ἄλλοι δὲ τὴν Παρθενόπην καὶ λέγουσι Παρθενόπην πολλῶν ἀνδρῶν ἐκβιβλασθεῖσαν, καὶ τὴν παρθενίαν φυλάξασαν, ὑπὸ Μετιόχῳ Φρυγὶ ἐραθεῖσαν, τὰς τρίχας ἔτεμε, καὶ ἀπομεῖναι ἑαυτὴν κατακωφώσασα, καὶ εἰς Καμπανίαν ἐλθοῦσαν φασὶν καὶ τύχῃ διὰ τῆς παρθένου συμφροσύνην ἀγνὴν παρὰ πολλῶν ἐτιμήθη.

ΠΕΡΙ ΣΕΜΕΛΗΣ.

ΣΕμέλη, Κάδμου ἦν θυγάτηρ. ταύτης ἠράσθη ὁ Ζεὺς, καὶ συγγίνεται αὐτῇ· ἡ συλλαβοῦσα, ὤχετο ἐξ αὐτοῦ τὸν Διόνυσον ἔγκυος. ἡ δὲ Ἥρα ζηλοτυπίας φερομένη, σχηματίζεται πρόσωπον τροφοῦ ἐγνωσμένης τῇ Σεμέλῃ, καὶ συμβουλεύσασα αὐτῇ τῇ Σεμέλῃ, ὅτι δεῖ αἰτῆσαι τὸν Δία συγγενέσθαι, ὥσπερ συγγίνεται τῇ Ἥρᾳ. συνεγίνετο δ' ὁ Ζεὺς τῇ Ἥρᾳ μετὰ βροντῶν καὶ κεραυνῶν. ταῦτα δὲ συμβουλεύσασα ἡ Ἥρα τῇ Σεμέλῃ, ἵνα τεχνάσῃ τὸν Δία μετὰ κεραυνῶν πρὸς αὐτὴν, ὡς θνητὴ καταφλεχθεῖσα καὶ μηκέτι ἔχοι τὴν ἀντίζηλον· ὃ δὴ καὶ γέγονε. τοῦ Διὸς ἐλθόντος πρὸς τὴν Σεμέλην, ᾐτήσατο ἡ Σεμέλη οὕτω καὶ αὐτῇ συγγενέσθαι ὡς τῇ Ἥρᾳ· καὶ συγγίνεται, καὶ κεραυνω-

ἐδόθη, καὶ ἀπόλλυται ἐν τόπῳ λαβὼν ὁ Ζεὺς τὸν Διόνυσον ἦμ-
ισυ, καὶ ἐντίθησι τῷ αὐτοῦ μηρῷ καὶ ὕστερον τῷ καθήκον-
τι χρόνῳ ὄντα, ἐγέννησε τῷ αὐτοῦ μηρῷ· καὶ γενο-
μενον ἔλαβεν ὁ Ἑρμῆς, ἀπεστάλη τοῦ μηροῦ τοῦ Διὸς, καὶ γεν-
νήσει, ὥς φασιν, ὁ Διόνυσος καὶ λαμβάνει αὐτὸν, καὶ ἀποδί-
δωσι Νύσαις ταῖς Θρᾳκικαῖς κάτω παρὰ τῶν Νυσαίων γαλακτοτρο-
φοῦνται. Σεμέλη δὲ ἤκουε, παρὰ τῆς τῆς σελήνης μόνου, ἔχων φρο-
νήσειν τὸν γὰρ Δία, ὡς ἐγεγένει, γενέσθαι μετὰ ἀστραπῶν καὶ βροντῶν
τῶν συγγενέσθαι αὐτῇ τῇ μορφῇ, καὶ κεραυνωθεῖσα, ἐτελεύτησε
τὰ μέλη, καὶ ἐντεῦθεν Σεμέλη

ΣΕΜΕΛΗΣ ΓΕΝΕΑΛΟΓΙΑ.

Ποσειδῶν ἐκ τῆς Δαμάλεως τῆς Βήλου γεννᾷ
ΑΓΗΝΟΡΑ,
ὃς ἐκ Ἀργείας τῆς Νείλου γεννᾷ
ΕΥΡΩΠΗΝ, ΦΟΙΝΙΚΑ, ΚΙΛΙΚΑ, ΜΕΛΙΑΝ, ΚΑΔΜΟΣ
ὃς ἐξ Ἁρμονίας,
ΣΕΜΕΛΗ, ΙΝΩ, ΑΓΑΥΗ, ΑΥΤΟΝΟΗ

ΠΕΡΙ ΤΟΥ ΣΕΣΟΓΧΩΣΙΔΟΣ

Σεσόγχωσις, βασιλεὺς τῆς Αἰγύπτου μετὰ Ὧρον τὸν Ὀσί-
ριδος καὶ Ἴσιδος παῖδα, ὅστις ἐπέλευσε, Ἀσίαν πᾶσαν κατ-
εστρέψατο, καὶ μέχρι πλείστων τῆς Εὐρώπης. λέγεται δὲ καὶ ἐν τοῖς
πλείσταις τῶν πολέμων κατεστρέψατο, στήλας ἔστησε τῆς νίκης σύμ-
βολα· οἱ δὲ τινες ἄνευ πολέμων χειρώσασι, γυναικῶν αἰδοῖα
ἐπεγράφησαν ταῖς στήλαις, τὸ σφῶν μαλακὸν σημαίνων· κατα-
κράτων δὲ γενναίως, ἤθελεν γνῶναι τὰς ἀρχαιότητας τῶν ἀνθρώ-
πων καὶ τρόπῳ τινὶ γλωσσοτομήσας, ἀπέλιπεν μετὰ ἀμφο-
τέρων αὐξηθέντας ὑπὸ καὶ βοῶντας βέκ, ἔκριναν καὶ ἐγνώσθη ὁ βασιλεὺς,
ὅτι ἀρχαιότεροι ἦσαν οἱ Παφλαγόνες· καὶ αὐτοὺς καὶ γὰρ ὁ ἄρτος
βέκ λέγεται.

ΠΕΡΙ ΣΙΒΥΛΛΩΝ ΚΑΙ ΒΑΚΙΔΩΝ

Σίβυλλαι τρεῖς ἐγένοντο· ὧν ἡ μὲν Ἐρυθραία, ὡς φασίν, ὁ
Ἐφέσιος διὰ τῆς ποιήσεως φησιν, Ἀπόλλωνος ἄλλο ἐν-
νῆρα ϑ, ἡ Ἐρυθραία λέγεται, ἡ Σαρδιανὴ καὶ ἐν ἄλλοις
πίπτουσιν, ὡς ἐν τοῖς ἑξῆς διαληψόμεθα. καὶ Βάκιδες ἐγένοντο
τρεῖς· ὁ μὲν ἐξ Ἐλεῶνος τῆς Βοιωτίας ὁ ϑ, Ἀθηναῖος ὁ
δὲ,

δὲ, Ἀρκάς. Θεόπομπος δὲ ἐν τῇ ἑνάτῃ τῶν Φιλιππικῶν, τά, τε ἄλλα πολλὰ περὶ τοῦ Ηπειρώτου Βάκιδος ἱστορεῖ παράδοξα, καὶ ὅτι ποτὲ Λακεδαιμονίων μανεισῶν τῶν γυναικῶν, καθαρμοὺς Ἀπόλλωνος αὐταῖς τοῦτον καθαρτὴν δόντος.

ΠΕΡΙ ΣΙΝΩΠΗΣ

Σινώπη, θυγάτηρ Ἀσωποῦ κατὰ Εὔμηλον καὶ Ἀριστοτέλην· κατὰ δέ τινας, Ἄρεος καὶ Παρνάσσης· ὡς δὲ τοῖς Ὀρφικοῖς Ἄρεως καὶ Αἰγίνης γενεαλογοῦνται ἐν πρώτοις Ἀπόλλων, κατὰ Φιλοστέφανον, ἀπὸ Βοιωτίας, ἀνηρπάσατο εἰς τὸν Πόντον· καὶ μιγεὶς αὐτῇ, ἔτεκεν Σύρον, ἀφ' οὗ Σύροι ἐκλήθησαν. κατὰ δὲ ἄλλους, ἡ παρθένος μέχρι τέλους ἐφύλαξεν· καὶ γὰρ τῷ Ἄλυι ποταμῷ ἐπλανήθη, καὶ τὸν Δία, καὶ Ἀπόλλωνα ἠπατήσατο. ἀπ' αὐτῆς δὲ ἡ ἐν τῷ Εὐξείνῳ πόντῳ πόλις, Σινώπη καλεῖται. ἐπεὶ μὴν ὑπὸ οἱ μῦθοι τῆς Σινώπης πόλεως ὄνομα ἀποδίδωσι περιάπτεται. ἡ δὲ ἀληθὴς ἱστορία αὐτῆς φησὶ Μαιάνδριος Κῷος, ὡς φησὶ καὶ Φλέγων. Ἀσσύριοι δὲ ὁ Τῦρος, μίαν τῶν Ἀμαζόνων φησὶ γενέσθαι ἐκ τῆς ... γυναικὸς τοῦ τῶν τότε ἐκείνων βασιλεῦσι· καλεῖται δὲ ... νομασθῆναι Σανάπην. μετονομασθῆναι δὲ τοῦτο τὸ ὄνομα, ... τὸν πολλὰ πίνουσαν. πάντας γὰρ λέγεσθαι οὕτως Θεσσαλοὶ μέθυσον τῇ διαλέκτῳ καὶ Ἀμαζόνες ἐχρῶντο· ἀπ' ἐκείνης δὲ τὴν πόλιν κληθῆναι Σινώπην.

ΠΕΡΙ ΣΙΣΥΦΟΥ

Σίσυφος ὁ Αἰόλου, τὸ Ἐλληνικὸν, θανὼν κατὰ μῦθον, καὶ δίκην ἐν ᾅδου εἰσπράττεσθαι, ὡς ἔθελε κάτω ἐλθεῖν καθὰ συνέθετο, ... βαθὺ γῆρας λαβὼν αὐτὸν, κατηγορεῖ· ὅθεν κόλασιν ὑπομένει. Ἐν τῷ ἀναγειν τὸν λίθον μυθεύεται δὲ ὅτι καὶ Ἡρακλῆς, καὶ Τυνδάρεως, καὶ Γλαῦκος, δὶς ἔζησε, καὶ ἀνεβίωσε κατὰ ... καὶ Ἄντιππος. λέγεται δὲ Ὀδυσσεὺς ἐκ Σισύφου εἶναι καὶ Αὐτόλυκος Αἴσιμον καὶ Ἀντίκλειαν τὴν Ὀδυσσέως μητέρα ἔτι ὑπὸ Σισύφου διαπαρθενευθῆναι. ἦν δὲ Αὐτόλυκος κλέπτης πάντων ... κλέπτων γὰρ πάντων ἵππους, καὶ βόας, ... τὰς σφραγῖδας αὐτῶν μετεποίει, καὶ ἐλάνθανε τοὺς δεσπότας αὐτῶν, ὡς φησὶ καὶ Ἡσίοδος·

Πάντα γὰρ ὅσσα λάβεσκεν, ἀΐδηλα τίθεσκεν.

Σίσυφος δὲ μονογράμμῳ ὑπομνήματι, τὸ τούτου ὄνομα ἐγχαράττων τῷ ἰδίῳ ζώῳ ὁπλαῖς καὶ χηλαῖς, κατεγίνωσκεν Αὐτόλυ-

λιαν, ἡ ἐφελκόμενος ἐκ τῆς πόντου ζωήν τινα, τῷ παραγγέλλειν, ἡ ἐφιλάτισε ἐκ δὲ τῆς ἄπω λαβὼν τὰ ἔσχατε, τὸ Σιτεῖον συμπεπτωκότα. καὶ δὲ ἡ, ἥτω λαβὼν τὰ ἔσχατε ἦν δὲ αὐτῷ ἐκγονοι· ὁ δὲ λάθρα τῇ αὐτῇ μητρὸς θυγατρὶ ἦν, τελευτᾷ, ἐγκωμιάζεται ὑπὸ Ὀδυσσέα. ὕστερον δὲ ἔγημε διαίρτω.

ΠΕΡΙ ΤΩΝ ΣΚΕΔΑΣΟΥ ΘΥΓΑΤΕΡΩΝ.

ΟΙ Λακεδαιμόνιοι, ἐν τῷ Πελοποννησιακῷ πολέμῳ, μετὰ τὸ κατακρατῆσαι πάσης τῆς Ἀθηναίων, ἠθέλησαν καὶ τὸ ἔθνος συμμάχους πολεμῆσαι καὶ ὑποτάξαι, καὶ Θηβαίους. καὶ προσεγγίσαντες τῇ πόλει, γενόμενοι ἐν Λεύκτροις (πόλις δὲ ἔστι Θηβῶν) συμβαλόντες ἡττήθησαν, Ἐπαμινώνδα στρατηγοῦ Θηβαίων κατακρατήσαντος. τὸ δὲ πάθος τοῖς Λακεδαιμονίοις γέγονεν ἐν Λεύκτροις, ἐξ αἰτίας τοιαύτης· Σκέδασος Λευκτρικὸς, ἔχων τρεῖς θυγατέρας, τινὲς ἐκ τῶν Λακεδαιμονίων πολιτῶν, τὰς κόρας βιασάμενοι, μεῖξαν ταῖς κόραις ἐνέβαλον φθάσαντες ὑπὸ τῶν Λακεδαιμονίων μόνων· ἀπελθόντων δὲ ἐκ τῆς ἰδίας γῆς τὸ ἀπέλεγον, ἀνῄρουν αὐτὰ καὶ ἐν ἀγορᾷ ἔτι τῇ ἰδίᾳ πατρίδι· ὕστερον Λεύκτροις ὁ Σκέδασος, καὶ μαθὼν τὸ γεγονὸς, κατηράσατο πᾶσι Λακεδαιμονίοις καὶ αὐτὸς τὸν τόπον τῆς θυγατέρων αὐτοῦ ἀπαγχῆσαι· διὸ καὶ ἡ ἀτυχία ἔφθασεν ἐν Λεύκτροις τοὺς Λακεδαιμονίους.

ΠΕΡΙ ΤΗΣ ΣΚΥΛΛΗΣ.

ΜΥθεύεται ὅτι ἐν τῷ Τυρρηνικῷ πελάγει ἦν θηρίον παρθενωπὸν Σκύλλα, θηρίον ἦν, ὃ τὸ γυναικὸς πρόσωπον εἶχε μέχρι τοῦ ὀμφαλοῦ· κάτω δὲ κυνῶν κεφαλαὶ περιεσπασμέναι αὐτῇ, ἐξ τὸ δὲ ἄλλο αὐτῆς σῶμα, ὁμοίως ἐν τῷ πελάγει· ἐπιβουλεύειν τοῖς ἀναβαλλομένοις ἐν τῷ πελάγει, κατέδει αὐτοὺς καὶ ἐσθίει, ὥσπερ αἱ Γοργόνες ἐν Ταρτησσῷ τῆς Ἰβηρίας, καὶ τὸ θαυμαστὸν· ὥσπερ αἱ Γοργόνες ἐν Ταρτησσῷ τῆς Ἰβηρίας, καὶ τῷ ἐν Ταρτησσῷ τοιοῦτον λέγουσι, ὥσπερ καὶ κακοί, ἢ δράκοντες ἐν Ταύρῳ ... σχῆμα βοστρύχων, ὡς ἐν Ἀντικυρᾳ ἐν Θρᾴκῃ, ὅτι δράκοντα ἔχουσι, σώματα γυναικῶν, πρόσωπα κεραῶν ἔχουσαι, ἢ ἡ ἔχιδνα ἐν Λυδίᾳ, ἑτέρα ἐκ κεφαλὴν εἶχε, τὰ δὲ κάτω ὄφεως. Ὄρθος Γηρυόνου, κύων ἐν Ἐρυθείᾳ δύο κυνῶν κεφαλὰς ἔχων, τὸν δὲ ἀλλὰ δρακόντων ἐκ Ἀτλήνει, βοῦς ἔχων πρόσωπον, τὰ δὲ ἄλλα σώματα, κεῖρον καὶ Μινώταυρος ἐν Κρήτῃ, ταῦρον ἔχων πρόσωπον καὶ στῆθος, τὸ δὲ ἄλλο σῶμα, βοὸς τῷ δὲ Σκύλλας, θυγατρὸς ἐκ Εκατ μεῦθος λέγει, ἔχουσα ἐκ τῶν

τοῖς πλαγίοις σκύλακας κατέχεσθαι τῷ περὶ Σικελίαν πορθμῷ. Ὅμηρος μὲν, Κράταιϊν μητέρα τῆς Σκύλλης δηλοῖ. μάγοι δὲ Ἑκάτην, φασὶν, αὐτὴν καλοῦσιν. [illegible] Τελχινὲ φασι [illegible] πατέρα τῆς Σκύλλης. Στησίχορος δὲ, Λάμιαν αὐτῆς μητέρα φησὶν ἢν δὴ Λάμιαν, ὁ μῦθος ὑπὸ δαιμονίου τι πλάττει. Νίκανδρος δ' ὁ Κολοφώνιος ἐν γλώσσαις, ἰχθὺν αὐτὴν [illegible] ὄνομα, καθὸ καὶ τὴν Σκύλλαν, ὥσπερ ἔστι ὁ καρχαρίας ἰχθὺς, καὶ Λάμια καὶ Σκύλλα καλεῖται. Ὅμηρος δὲ τῇ Σκύλλῃ ἓξ πλάσσων κεφαλὰς, ἔπειτα περικέφαλον αὐτὴν ἐμυθεύσατο. ἐοίκε δὲ καὶ ὡς κατὰ τοὺς παλαιοὺς Ὅμηρος εἰκότως ἐν τῇ δωδεκάτῃ ῥαψῳδίᾳ τῆς Ὀδυσσείας τὸ, ὅτι φωνὴ σκύλακος, προσέπλαττε τῇ Σκύλλῃ καὶ κυνῶν κεφαλὰς ἐκ [illegible]. πιθανώτερον δὲ φασὶ δρακόντων [illegible] κεφαλὰς οὕτως γὰρ πόδας αὐτὴν ἔχειν ιβ΄, ἓξ δὲ δειρὰς ἐν δὲ ἑκάστῃ κεφαλὴν ἔχειν. ἐν δὲ τριστοιχεὶ [illegible] δρακόντων δὲ, ἡ μὲν κυνῶν ἡ δὲ ὀδόντων τριστοιχία. ἔστι δὲ τις καὶ ἱστορία [illegible] γέγονε [illegible] Ἡρακλῆς [illegible] στρατηγὸς, καὶ συμπλέων μετὰ τῶν Γηρυόνου βοῶν, τῷ Σικελικῷ πορθμῷ [illegible] τὸ [illegible] καὶ [illegible] ἔνθα καὶ τὸ τῆς Χαρύβδεως. Ὁμηρικὸς μῦθος γενικῶς λέγει πάθος, καὶ τὸ τῆς Σκύλλης κακὸν, [illegible] γὰρ ἡ θάλασσα κατὰ πάθος [illegible] περιβάλλουσα τὰς παραθαλασσίους πέτρας [illegible] αὐτόθι [illegible] αὐτῶν, καὶ ἀνακαθαίρει [illegible] καὶ ἐμυθεύσατο τὴν Σκύλλαν αὐτοὺς ἀνελεῖν. Φόρκυς δὲ, ἤτοι ἡ θάλασσα, ὁ πατὴρ. [illegible] ἡ γὰρ θάλασσα [illegible] αὐτὴν πάλιν [illegible] καὶ χρόνοις πάλιν τὴν ὑφ' Ἡρακλέους ἀνακαθαρθεῖσαν, καὶ τῇ [illegible] ἡ θάλασσα χεῖται, [illegible] καὶ ταῦτα μὲν κατὰ τὴν μυθοπλασίαν. πλὴν [illegible] ὅτι ἡ Σικελία κατάντικρυ κειμένη τῆς Ἰταλίας, ὁ διὰ μέσου αὐτῶν πορθμὸς [illegible] κατὰ δὲ τὸ ἄκρον τὸ πρὸς Ἰταλίαν [illegible] ὃ καλοῦσι Πέλωρος, κάτω [illegible] ἡ καλουμένη Χάρυβδις. ἐν ᾧ ἡ θάλασσα γίνεται [illegible], καὶ ῥαχία καὶ [illegible] τοῦ πορθμοῦ τῆς θαλάσσης κατὰ τὸν [illegible], εἶτα [illegible] ἡ δὲ Σκύλλα ἐν τῇ Ἰταλίᾳ [illegible] κατάντικρυ τοῦ Πελώρου. ἔστι δὲ ἡ Σκύλλα, [illegible] θάλασσαν, [illegible] καὶ [illegible] ὡς φασι [illegible] κάτω δὲ τῆς [illegible] πέτρας [illegible] μεγάλας καὶ [illegible] ἔχουσαι κοιλότητας καὶ σπήλαια, ἐν οἷς ἡ θάλασσα [illegible] ἔστι

μῦθο

[illegible]

ΠΕΡΙ ΤΩΝ ΣΤΥΜΦΑΛΙΔΩΝ ΟΡΝΙΘΩΝ

Στύμφαλος, πόλις ἐστὶν ἐν Ἀρκαδίᾳ, [illegible]

τας πτέρυγας τὰς ἑαυτῶν πτερὰ, ἀκέντεον. ταύτας ὁ Ἡρακλῆς ὡς ἠδύνατο ἀπώσασθαι, εἰ μὴ κρόταλον χαλκοῦν ψόφου ποιῶν ἐφόβησε. καλοῦνται δὲ Ὄρνιθες, διὰ τὸ ἐν τῇ λίμνῃ αὐτὰς οἰκῆσαι τῆς Ἀρκαδίας περὶ ὧν Ὅμηρος, Στυμφαλόν τ' ἐνέμοντο. λέγει δὲ καὶ Φερεκύδης ὄρνιθας εἶναι, καὶ ἀναιρεθῆναι ὑφ' Ἡρακλέους, πλαταγῆς δοθείσης αὐτῷ πρὸς τὸ κτυπεῖν καὶ ἐκφοβεῖν αὐτάς. ὁμοίως καὶ Ἑλλάνικός φησι. τὴν δὲ Στυμφαλίδα λίμνην φασὶ, διὰ βερέθρου ἐκδοθεῖσαν ξηρανθῆναι. μέμνηται δὲ καὶ Στράβων λίμνης Στυμφαλίδος, λέγων ὅτι ἐνταῦθα τὰς ὄρνις μυθολογοῦσι, τὰς ὑπὸ Ἡρακλέους τοξεύμασι καὶ τυμπάνοις ἐξελαθείσας. ὅπερ τοῖς μεγάλοις ἄθλοις προσλογίζεται τῷ ἥρωϊ. Μνασέας δὲ τὰς Στυμφαλίδας φησὶ θυγατέρας γενέσθαι τοῦ ἥρωος τάχα Στυμφάλου, καὶ Ὀρνίθης γυναικὸς, ἃς ἀνεῖλεν ὁ Ἡρακλῆς, ὅτι οὐ προσεδέξαντο αὐτὸν, ἀλλ' ἐξένισαν τοὺς Μολιονίδας.

ΠΕΡΙ ΣΤΥΓΟΣ

Στυξ ἡ ἱστορουμένη παρὰ τοῖς ποιηταῖς ψυχροτάτη ἀλληγορεῖται δὲ καὶ διὰ ποιοῦ ῥηθὲν τοῦ ἐπ' αὐτῇ θάνατον καὶ κατὰ τὸν μῦθον δὲ Πλάτωνος Στὺξ καὶ Τάρταρος συγκαταλέγεται ἀφ' οὗ καὶ τὰς πηγάς καὶ τὸ περιεχόμενον, ἔνθα δὲ ἄγει ῥέγονται λέγεται ἀπὸ στυγερῶν, ἀντὶ τοῦ φοβερῶν, κρυερῶν. παρὰ τὴν Στύγα, τὴν ψυχρὰν ἐν Ἅδῃ πηγὴν ἀφ' ἧς τὸ στυγεῖν ἀσεβεῖς δὲ ἐνδέδεκται, διὰ τὴν τῆς λέξεως δεξιότητα· ἐπειδὴ στυγητὴ ἐστι τοῖς ἐν Ἅδῃ, τιμῆς ἀμείβει. ἡ δὲ ὑπαρξις, πηγὴ αὐτῆς ὕδατος ἐν Φενεῷ, ἢ Νωνάκρις τῇ περὶ Ἀρκαδίαν. ὅτι δὲ ὁ Γεωγράφος ἀποβαλεῖν αὐτὴν ὀλέθρου ὕδατος λέγει, ὅτι ψυχρότατον τὸ κατ' αὐτὴν ὕδωρ, ὃ μηδὲν ἀγγεῖον στέγειν οἷόν τε, πλὴν ὁπλῆς ἵππου ἢ ὄνου, τὴν δέ εἰς πίνοντας, δῆλον. παράγεται δὲ ἀπὸ τοῦ μῦθου Στυγὸς, ὃ μόνον τὸ στυγεῖν, ἀλλ' ὅτι μισεῖν ἐφαίνετο, καὶ ὁ στυγητὸς, ἀλλὰ καὶ ὁ στυγνός, ὃ δηλοῖ καὶ τὸ στυγνάζοντα, ὁ ἐπὶ λυπούμενον καὶ τὸ μισοῦν, παρὰ Σοφοκλεῖ· παρ' ᾧ καὶ Στυγὸς δόμος, τὰ κάτω καὶ στυγεραὶ Ἐρινύες, αἱ φοβεραὶ, καὶ, ὡς αὐτοῖς, κρυεραί, καὶ ῥιγεδαναί, παρὰ τὴν Στύγα. δεινότης δὲ τοιαύτη αἱ Ἐρινύες, μάλιστα μὲν σκληρὰ τῷ γένει ἀπαραίτητα, δοκοῦσι δὲ ἐν τοῖς λοιποῖς ἐπιπολῆς ἀδικήμασιν, ὡς ἐν ποιητικοῖς δηλοῦσιν. ὅτι ἐκ στυγεραί ἐλάττονται, διὰ τὸ κατ' ἀλληγορίαν που τάχυ τῆς θείας δίκης ἄφυκτον,

καὶ ὅτε τρεῖς εἶσι, καὶ τίνα τούτοις τὰ ὀνόματα, καὶ ὅτι ἄγρια καὶ θηριώδη, καὶ ὅτι μέλανες, διὰ τὸ ἀφανὲς τυγχάνειν τὰς κακίας καὶ ὅτι πτερωτοὶ, διὰ τὸ εἶναι μακροπτέρους, καὶ τοῦ πλάττειν τὴν βεβαίωσιν, καὶ ταχύ, καὶ πανταχοῦ· καὶ ὅτι φέρουσί τι καὶ ἐπιεικές, καὶ τὸ ἄνθος αὐτοῖς ἀνιέναι, ὡς ἄγαν ἀνηλεεῖς, ἢ σεμνὰς ἀνόμασι γὰρ καὶ τὰ σεμνὰ παρ' Ἀττικοῖς, ἢ ὡς ἀπὸ ἐπιεικείας, ἢ ὡς ὅσον ἔλεος ἀντιπραττούσας. αἱ μάλιστα γογγύζει, καὶ ὅπως ἄλλαι τούτων ἐτυμολογίαι, ζητητέον ἐν τοῖς παλαιοῖς· παρ' ὧν ἀεὶ παρθένοι λεγουσένται, διὰ τὸ μὴ λήγειν τῆς ὀργῆς αὐτῶν, καὶ ἐπεὶ ὁρῶσαι πάντα τὰ ἐν βροτοῖς, πάθη, καὶ, ὡς ποιοῦ, ἀλάστορα, διὰ καὶ μηνύουσι αὐταί· ὅθεν καὶ Ζεὺς ἀλάστωρ καὶ ὁ φθονερὸς δαίμων ἀλάστωρ ἐντεῦθεν λέγεται.

ΠΕΡΙ ΤΗΣ ΚΑΔΜΕΙΑΣ ΣΦΙΓΓΟΣ

Σφιγξ, κατὰ τὸν Ἑλλήνων μῦθον, τερατῶδες ζῶον ἐγένετο ἀνθρωπόμορφον· σῶμα μὲν ἔχον, ὡς κυνὸς, κεφαλὴν δὲ καὶ πρόσωπον κόρης· πτέρυγας ὀρνίθων· φωνὴν δὲ ἀνθρώπου καθεζομένη δὲ ἐπὶ Σφιγγίου ὄρους, αἴνιγμα εἶπε τῶν πολιτῶν ἑκάστῳ λέγε, καὶ τὸν μὴ εὑρόντα ἀνῄρει ἁρπάζουσα· ὁ δὲ Οἰδίπους, τὸ αἴνιγμα, ῥίψασα ἑαυτὴν ἀπώλετο. τὸ δ' ἀληθὲς οὕτως ἔχει· Κάδμος ἔχων γυναῖκα Ἀμαζονίδα, ὄνομα Σφίγξ, ἐλθὼν εἰς Θήβας, καὶ ἀποκτείνας τὸν Δράκοντα, τὴν αὐτοῦ βασιλείαν παρέλαβε· μετὰ δὲ, καὶ τὴν ἀδελφὴν Δράκοντος, ᾗ ὄνομα Ἁρμονία. αἰσθομένη δὲ ἡ Σφίγξ, ὅτι καὶ ἄλλην ἔγημε, πείσασα τῶν πολλῶν πολιτῶν συναπαίρειν αὐτῇ, καὶ τῶν χρημάτων τὰ πλεῖστα ἁρπάσασα, καὶ τὸν Πεδινικὸν κύνα, ὃν εἶχεν Κάδμος ἄγων, λαθοῦσα, μετὰ τούτων ἀπῄει εἰς τὸ λεγόμενον ὄρος Σφίγγιον· κἀντεῦθεν ἐπολέμει τῷ Κάδμῳ. ἐνέδρας δὲ ποιουμένη καθ' ἑκάστην ὥραν ἀνῄρει· καλοῦσι δὲ οἱ Θηβαῖοι τὴν ἐνέδραν, αἴνιγμα. ἐβόων δὲ οἱ πολῖται λέγοντες, Σφίγξ ἡμᾶς ἡ Ἀγρία, ἀνῄρει τι λέγουσα, διαρπάζει. ὑφαρπάζει δὲ τὸ αἴνιγμα τοῦτο εἰπόντι κηρύττει δὲ ὁ Κάδμος, τῷ ἀναιροῦντι τὴν Σφίγγα δώσειν χρήματα πολλά. ἐλθὼν οὖν ὁ Οἰδίπους, ἀνὴρ Κορίνθιος, τὰ τε πολεμικὰ ἀγαθὸς, ἔχων ἵππον ποδώκη, καὶ ποιήσας λόχον μετὰ τῶν τοῦ Καδμείου, κατὰ ἐπὶ τὸ ὄρος, ἀνεῖλε τὴν Σφίγγα· τούτων οὕτως συμβάντων, ὁ μῦθος ἐπενοήθη.

ΙΣΤΟΡΙΚΟΙ.

ΠΕΡΙ ΣΤΡΑΤΤΙΔΟΣ ΤΟΥ ΙΣΤΟΡΙΚΟΥ.

Στράττις, Ὀλύνθιος ἱστορικός, ἔγραψε περὶ τῶν Ἀλεξάνδρου ἐφημερίδων βιβλία πέντε· περὶ ποταμῶν, καὶ κρηνῶν, καὶ λιμνῶν· περὶ τῆς Ἀλεξάνδρου τελευτῆς καὶ ἄλλα,

ΡΗΤΟΡΕΣ,

ΠΕΡΙ ΣΑΒΙΝΟΥ ΤΟΥ ΡΗΤΟΡΟΣ.

Σαβῖνος, ῥήτωρ ἐπὶ Ἀδριανοῦ Καίσαρος· ἔγραψεν εἰσαγωγὰς καὶ ὑποθέσεις μελετικὰς ὕλας ἐν βιβλίοις τέσσαρσιν· εἰς Θουκυδίδην, καὶ [illegible], καὶ ἄλλους, ὑπομνήματα καὶ ἕτερά τινα ἐξηγητικά.

ΠΕΡΙ ΣΑΛΟΥΣΤΙΟΥ ΤΟΥ ΣΟΦΙΣΤΟΥ.

Σαλούστιος, σοφιστὴς· ἔγραψεν εἰς Δημοσθένην, καὶ Ἡρόδοτον ὑπομνήματα καὶ ἄλλα.

ΠΕΡΙ ΣΑΡΑΠΙΩΝΟΣ, ΤΟΥ ΑΛΕΞΑΝΔΡΕΩΣ.

Σαραπίων ὁ Αἴλιος, ῥήτωρ Ἀλεξανδρεύς· ἔγραψε περὶ τῶν ἐν ταῖς μελέταις κατορθουμένων ἀκροάσεων βιβλία ζ· προσφώνησιν τῷ Ἀδριανῷ τῷ Καίσαρι· βουλευτικὸν Ἀλεξανδρέων· εἰ δικαίως Πλάτων Ὅμηρον ἀπέπεμψε τῆς πολιτείας· καὶ ἄλλα συχνά· καὶ τέχνην ῥητορικήν.

ΠΕΡΙ ΣΙΒΥΝΤΙΟΥ ΤΟΥ ΡΗΤΟΡΟΣ.

Σιβύντιος, Θεσσαλὸς τῆς Φετταλίας ἀναγνώστης καὶ ὑπάτου· ὃς ἐγραμμάτευσεν ἐπειδὴ αὐτοῖς· ἔγραψε τέχνας ῥητορικάς· μελέτας τε καὶ ἐπιστολάς.

ΠΕΡΙ ΣΙΡΙΚΙΟΥ ΤΟΥ ΡΗΤΟΡΟΣ.

Σιρίκιος Νεαπολίτης, ἐκ Παλαιστίνης, ῥήτωρ, καὶ σοφιστής, μαθητὴς Ἀνδρομάχου· σοφιστεύσας χρόνον τινὰ καὶ ἐν ταῖς Ἀθήναις· ἔγραψε προγυμνάσματα, καὶ μελέτας τινὰς ὀλίγας.

ΠΕΡΙ ΣΚΟΠΕΛΙΑΝΟΥ ΤΟΥ ΣΟΦΙΣΤΟΥ.

Σκοπελιανὸς Κλαζομένιος σοφιστὴς, γεγονὼς ἐπὶ Νέρβα, συνεφίλασεν ἐν Σμύρνῃ. ἐκράτει δὲ ἔγγονον Νικήτου, συγχρονεῖ Ἀπολλωνίῳ τῷ Τυανεῖ πρὸς ὃν καὶ ἐπιστολαὶ φέρονται Ἀπολλωνίου.

ΠΕΡΙ ΣΩΠΑΤΡΟΥ ΤΟΥ ΣΟΦΙΣΤΟΥ.

Σώπατρος Ἀπαμεὺς σοφιστὴς καὶ φιλόσοφος, μαθητὴς Ἰαμβλίχου, ὃν ὁ Κωνσταντῖνος ὁ Καῖσαρ ἀνεῖλεν ὡς πίστει τῇ μὴ Ἑλληνίζειν ἔτι κατὰ τῶν Θρησκείων. ὅτι γὰρ αὐτοῦ ἐπιθυμοῦντι ... ἔγραψε περὶ προνοίας, καὶ τῶν παρὰ τὴν ἀξίαν εὐπραγούντων ἢ δυσπραγούντων. καὶ ἕτερος Σώπατρος Ἀπαμεὺς ἢ Ἀλεξανδρεὺς, ὃ συναγαγὼν ... ἔγραψεν ἐκλογὰς πλείστας. τινὲς δὲ καὶ τὰς ἐκλογὰς τῶν ἱστοριῶν τούτου εἶναί φασι.

ΙΑΤΡΟΙ.

ΠΕΡΙ ΣΑΛΟΥΣΤΙΟΥ ΤΟΥ ΙΑΤΡΟΥ.

Σαλούστιος Μαψεάτης ἰατρὸς, ἐπὶ Τιβερίου Καίσαρος ἔγραψε περὶ πυρετῶν περὶ κατασκευῆς τοῦ ἀνθρώπου καὶ ἄλλα ἰατρικά.

ΠΕΡΙ ΣΩΡΑΝΟΥ ΤΟΥ ΙΑΤΡΟΥ.

Σωρανὸς Μενάνδρου καὶ Φοίβης, Ἐφέσιος ἰατρὸς, διατρίψας ἐν Ἀλεξανδρείᾳ καὶ ἐν Ῥώμῃ δὲ ἰατρεύσας ἐπὶ Τραϊανοῦ καὶ Ἀδριανοῦ τῶν βασιλέων, βιβλία συνέταξε κάλλιστα πλεῖστα. καὶ ἕτερος Ἐφέσιος ἰατρὸς νεώτερος. ἔγραψε γυναικεῖα βιβλία δ΄ ... βίους ἰατρῶν καὶ αἱρέσεις καὶ συντάγματα βιβλία ... καὶ ἄλλα πλεῖστα ἄριστα.

ΠΟΙΗΤΑΙ.

ΠΕΡΙ ΣΑΝΝΥΡΙΩΝΟΣ ΤΟΥ ΚΩΜΙΚΟΥ.

Σαννυρίων, Ἀθηναῖος κωμικὸς, φέρεται αὐτοῦ δράματα ταῦτα, γέλως, Ἰὼ, Ἰώ, Δανάη, Σαρδανάπαλος, ψυχαστής.

ΠΕΡΙ ΣΑΠΦΟΥΣ.

Σαπφὼ Σίμωνος οἱ δὲ, Εὐμήνου οἱ δὲ Ἠεριγύου οἱ δὲ, Ἐκρύτου οἱ δὲ, Σήμου οἱ δὲ, Κάμωνος οἱ δὲ, Ἐτάρχου ...

αἱ δὲ, Σκαμανδρωνύμου πατρὸς Κλειδὸς, Λεσβία ἐξ Ἐρεσσοῦ, λυρικὴ γεγονυῖα κατὰ τὴν μβ' Ὀλυμπιάδα, ὅτε καὶ Ἀλκαῖος ἦν, καὶ Στησίχορος, καὶ Πιττακός. ἔγραψε δὲ μελῶν λυρικῶν βιβλία θ'. καὶ αὐτὴ πλῆκτρον εὗρεν. ἔγραψε δὲ καὶ ἐπιγράμματα καὶ ἐλεγεῖα.

ΠΕΡΙ ΣΙΒΥΛΛΗΣ ΤΗΣ ΕΡΥΘΡΑΙΑΣ, ΚΑΙ ΤΩΝ ΛΟΙΠΩΝ

Σίβυλλα Ἀπόλλωνος καὶ Λαμίας, Ἐρυθραία· οἱ δὲ, Σικελὴν, ἄλλοι Σαρδιανήν· καὶ ἄλλοι ἄλλως. μετὰ τὴν Τρωϊκὴν ἅλωσιν ἔτη υκγ' συνετάξατο βιβλία ταῦτα, ἅπερ πλήρη μέλη χρησμῶν. λέγονται δὲ καὶ τρίγωνοι οὗτοι λόγοι αὐτῆς αὐτοῦ εὑρεῖν θεωρία, ἡ Ἔλισσα. ἔγραψε μαντείας καὶ χρησμοὺς δι' ἐπῶν. τρίτη, ἡ Θεσσαλὴ, ἡ κληθεῖσα καὶ Μαντὼ, ἀπὸ γονῶν Τειρεσίου πατρός, ἡ κληθεῖσα ὑπό τινων Σαμβήθη· ὑπὸ δὲ τινων, Κασσάνδρα, ἄλλων ς, Ταραξάνδρα. ἔγραψε χρησμοὺς πέμπτη, Κύμαια, ἕκτη, Θεσπρωτίς. ἔγραψεν καὶ αὕτη ὁμοίως χρησμοὺς ἑβδόμη, Χαλδαία, πρός τινων Ἑβραία, ἡ καὶ Χριστοῦ προφητεύσασα.

ΠΕΡΙ ΣΙΜΩΝΙΔΟΥ ΤΟΥ ΛΥΡΙΚΟΥ

Σιμωνίδης Λεωπρεποῦς, Ἰουλιήτης, τῆς ἐν Κέῳ τῇ νήσῳ πόλεως λυρικὸς μετὰ Στησίχορον, ὃς ἐπεκλήθη Μελικέρτης· γέγραπται αὐτῷ Δωρίδι διαλέκτῳ, ἡ Καμβύσου καὶ Δαρείου βασιλεία, καὶ Ξέρξου ναυμαχία· καὶ ἡ ἐπ' Ἀρτεμισίῳ ναυμαχία δι' ἐλεγείας· ἡ δ' ἐν Σαλαμῖνι, μελικῶς· θρῆνοι, ἐγκώμια, ἐπιγράμματα, παιᾶνες τραγῳδίαι καὶ ἄλλα. καὶ ἕτερος Σιμωνίδης, Κεῖος, θυγατριδοῦς κατά τινας τοῦ προτέρου, ὃς ἐπεκλήθη Μελικέρτης, γέγονε πρὸ τῶν Πελοποννησιακῶν· καὶ γέγραφε γενεαλογίαν ἐν βιβλίοις τρισί. καὶ ἄλλος Σιμωνίδης Μάγνης Σιπύλου, ἐποποιὸς, γέγονεν ἐπὶ Ἀντιόχου τοῦ μεγάλου κληθέντος· καὶ γέγραφε τὰς πράξεις αὐτοῦ, καὶ τὴν πρὸς Γαλάτας μάχην, ὅτε μετὰ τῶν ἐλεφάντων τὴν ἵππον αὐτῶν ἔφθειρεν. καὶ ἄλλος Καρύστιος, ὁ Ἐρετριεὺς ἐποποιός· ἔγραψε τὴν εἰς Αὐλίδα συνοδον τῶν Ἀχαιῶν τελευτήσαντα, βιβλία β'. ἅπερ Ἰστορικὰς ἐν καὶ ἄλλος, Κεῖος Ἀμοργῖνος, ἰαμβογράφος· ἔγραψεν ἐλεγεῖα ἐν βιβλίοις β' ἰάμβων. πρῶτος αὐτὸς, κατά τινας, γέγονε μετὰ υ' καὶ ς' ἔτη τῶν Τρωϊκῶν.

ΠΕΡΙ ΣΟΦΟΚΛΕΟΥΣ.

Σοφοκλῆς, Ἀθηναῖος τραγικὸς, πρεσβύτερος Σωκράτους ἔτη ιζ'. ἔγραψεν ἐλεγεῖά τε καὶ παιᾶνας καὶ λόγον καταλογάδην, περὶ τοῦ χοροῦ πρὸς Θέσπιν καὶ Χοιρίλον ἀγωνιζόμενος. πρῶτος δὲ μετὰ Εὐριπίδου ἐτῶν ε'. ἐδίδαξε δὲ δράματα ρκγ', ὡς δέ τινες, καὶ πολλῷ πλείω. εἶσι δὲ ἕτεροι ὑπ' ἐκεῖνον, ὡς δέ τινες, καὶ τοῦ πρώτου Σοφοκλέους τοῦ τραγικωτάτου, Ἀρίστωνος, ἔστι δὲ τοῦ πρώτου Σοφοκλέους τοῦ πρεσβυτέρου, Ἀθηναῖος τραγικός. ἐδίδαξε δὲ δράματα μ', κατὰ δέ τινας, ιε. καὶ ἄλλος ἔγραψε καὶ ἐλεγεῖα καὶ ἄλλοι τραγικοὶ καὶ ἄλλοι. Ἀθηναῖος καὶ αὐτὸς, ἀπόγονος τοῦ παλαιοῦ γέγονε. μετὰ τὸ πλεῖστον ἔτη μετὰ τινα τραγικὰ οἱ τινες πλείω ἀναμανθάνονται δράματα αὐτοῦ.

ΠΕΡΙ ΣΩΠΑΤΡΟΥ ΤΟΥ ΚΩΜΙΚΟΥ.

Σώπατρος, κωμικὸς τῶν δραμάτων κατὰ τὴν Ἱππολυτον φυσιολόγος ... ἐν Κιλίκ ... τέλει Ὀρέστης φασὶ καὶ ἄλλα.

ΠΕΡΙ ΣΩΣΙΚΛΕΟΥΣ ΤΟΥ ΤΡΑΓΙΚΟΥ.

Σωσικλῆς, Συρακούσιος τραγικὸς, ἐδίδαξε δράματα ογ', ἐνίκησε δὲ ζ'. ἦν δὲ καὶ αὐτὸς ἐκ τῶν ζ' τραγικῶν, οἵτινες ὠνομάσθησαν πλειάς. ἐγένετο δὲ ἐπὶ τοῦ Φιλαδέλφου.

ΠΕΡΙ ΣΩΤΑΔΟΥ ΤΟΥ ΚΡΗΤΟΣ.

Σωτάδης Κρὴς, Μαρωνείτης, ἰαμβοποιὸς, κιναιδολόγος, ἔγραψε φλύακας, ἤτοι κιναίδους, διαλέκτῳ Ἰωνικῇ. καὶ γὰρ Ἰωνικοὶ λόγοι ἐκαλοῦντο οὗτοι. ἐχρήσαντο δὲ τῷ εἴδει τούτῳ καὶ Ἀλέξανδρος ὁ Αἰτωλὸς, καὶ Πύρρος ὁ Μιλήσιος, καὶ Θεόδωρος, καὶ Τιμοχαρίδας, καὶ Ξέναρχος. οὗτος δὲ κατὰ ἰδίαν ἐλθὼν εἰς μεγαλείας, Ἀδὸς κατάβασις, Πρίηπος, εἰς Βελεστίχην, Ἀμαζόνα καὶ ἕτερα. καὶ ἐγκλεισθεὶς καὶ κατεποντίσθη.

ΠΕΡΙ ΣΩΤΗΡΙΧΟΥ ΤΟΥ ΠΟΙΗΤΟΥ.

Σωτήριχος ὁ Ἀσίτης, ἐποποιὸς, γεγονὼς ἐπὶ Διοκλητιανοῦ, ἔγραψεν ἐγκώμιον εἰς Διοκλητιανὸν, Βασσαρικὰ ἤτοι Διονυσιακὰ, βιβλία δ', τὰ κατὰ Πάνθειαν τὴν Βαβυλωνίαν, Πύθωνα, ἢ τὰ κατὰ Ἀλέξανδρον, βίον Ἀπολλωνίου τοῦ Τυανέως. ΑΛ-

Ἀλεξανδρεικόν. ἔστι δὲ Ἀλεξάνδρῳ τῷ Μακεδόνι ἐγκώμια ὅτι Θήβας παρέλαβε, καὶ ἄλλα.

ΠΕΡΙ ΣΩΦΙΛΟΥ

ΣΩφιλος, Σικυώνιος, ἢ Θηβαῖος, κωμικὸς τῆς μέσης κωμῳδίας. δράματα αὐτοῦ, κιθαρῳδὸς· φύλαρχος· Τυνδάρεως, ἢ Λήδα· ἐκ δημίου ἢ χρυσίου, ἢ παρακαταθήκη.

ΠΕΡΙ ΣΩΦΡΟΝΟΣ

ΣΩφρων, κωμικός. ἔστι δὲ δράματα ἢ κωμῳδίαι, πενθερὰ, ὡς Ἀθηναῖος ἐν Δειπνοσοφισταῖς.

ΠΕΡΙ ΣΠΙΝΘΑΡΟΥ ΤΟΥ ΤΡΑΓΙΚΟΥ

ΣΠίνθαρος Ἡρακλεώτης ἦν δὲ τραγῳδίας ποιητής· δράματα δὲ αὐτοῦ, ἀθανατιζόμενος Ἡρακλῆς· Σεμέλη κεραυνουμένη.

ΠΕΡΙ ΣΤΗΣΙΧΟΡΟΥ ΤΟΥ ΛΥΡΙΚΟΥ

ΣΤησίχορος Εὐφόρβου, ἢ Εὐφήμου· τοῖς δὲ χρόνοις ἦν νεώτερος Ἀλκμᾶνος τοῦ λυρικοῦ, ἐπὶ τῆς λζ Ὀλυμπιάδος γεγονώς. ἔσχεν ἀδελφὸν γεωμετρίας ἔμπειρον Μαμερτῖνον, καὶ ἕτερον Ἡλιάνακτα νομοθέτην. γέγονε δὲ λυρικός· καὶ εἰσὶν αὐτοῦ τὰ ποιήματα Δωρίδι διαλέκτῳ, ἐν βιβλίοις κϛ. φασὶ δὲ αὐτὸν γράψαντα ψόγον Ἑλένης, τυφλωθῆναι· πάλιν δὲ γράψαντα Ἑλένης ἐγκώμιον, ἐξ ὀνείρου τὴν παλινῳδίαν ἀναβλέψαι. ἐκλήθη δὲ Στησίχορος, ὅτι πρῶτος κιθαρῳδίᾳ χορὸν ἔστησεν, ἐπεί τοι πρότερον Τισίας ἐκαλεῖτο.

ΠΕΡΙ ΣΤΡΑΤΤΙΔΟΣ

ΣΤράττις, Ἀθηναῖος τραγικός· τῶν δραμάτων αὐτοῦ ἐστι ταῦτα· ἀνθρωπορέστης· Ἀταλάντη· ἀγαθοὶ, ἤτοι ἀργυρίου ἀφανισμός· Ἰφιγέρων· Καλλιππίδης· Κινησίας· λημνομέδων· Μακεδόνες· Μήδεια· Τρωΐλος· Φοίνισσαι· Φιλοκτήτης· Χρύσιππος· Παυσανίας· ψυχασταί.

ΠΕΡΙ ΣΤΡΑΤΩΝΟΣ

ΣΤράτων, κωμικὸς τῆς μέσης κωμῳδίας· τῶν δραμάτων αὐτοῦ Φοῖνιξ.

ΓΡΑΜΜΑΤΙΚΟΙ

ΠΕΡΙ ΣΕΛΕΥΚΟΥ ΤΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.

ΣΕλευκος, Ἀλεξανδρεὺς γραμματικὸς, ὃς ἐπεκλήθη Ὁμηρικὸς, ἐσοφίστευσε δὲ ἐν Ῥώμῃ. ἔγραψεν ἐξηγητικὰ εἰς πάντα, ὡς εἰπεῖν, ποιητήν. περὶ τῶν ἐν συνηθείᾳ διαπορουμένων, περὶ τῶν ψευδῶς πεπιστευμένων, περὶ τῆς παρ' Ἀλεξανδρεῦσι διαλέκτου, περὶ θεῶν βιβλία γ'. καὶ ἄλλα σύμμικτα καὶ ὑπομνήματα, Ἑλληνικῶς γραμματικὸς ἔγραψεν ... βιβλία ... εἰς τὰς λογικὰς ... Παρθένου ...

ΠΕΡΙ ΣΕΡΗΝΟΥ ΤΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ

ΣΕρῆνος ὁ Αἴλιος, ὁ καὶ Ἀθηναῖος, γραμματικὸς ἔγραψεν ἐπιτομὴν τῆς Φίλωνος πραγματείας περὶ πόλεων καὶ οὓς ἑκάστη ἐνδόξους ἤνεγκε, βιβλία τρία. ἐπιτομὴν τῶν Φιλοξένου εἰς Ὅμηρον α'.

ΠΕΡΙ ΣΗΜΟΥ ΤΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ

ΣΗμος, Ἠλεῖος γραμματικὸς, ἔγραψε Δηλιακὰ βιβλία η'. περὶ νήσων β'. περὶ Πάρου, περὶ Παιάνων ... καὶ ... μιμηταὶ ... ποιητῶν ... φαλλοφόροι ... αὐτὸς ... ἐθυφάλλοι ... Ἰακχος ... ἐθυφάλλους ... χειρῖδας ... χιτῶνας ... μέχρι ... σφυρῶν ... φαλλοφόροι ... ὄψιν ... ἐπικείμενοι ...

ΠΕΡΙ ΣΙΜΜΙΟΥ ΤΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ

ΣΙμμίας, Ῥόδιος γραμματικὸς ἔγραψε γλώσσας, βιβλία τρία. ποιήματα διάφορα, βιβλία τέσσαρα. ἔγραψε ... καὶ ἄλλα διάφορα ἀρχαιολογίαν ...

ΠΕΡΙ ΣΩΣΙΒΙΟΥ ΤΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ

ΣΩσίβιος, Λάκων γραμματικὸς τῶν ἐπιλυτικῶν καλουμένων ... καὶ ... ὅτι ... καὶ ... βιβλίον καὶ ... καὶ περὶ τῶν ... σπουδαίων καὶ ἄλλα.

ΣΤΕ-

ΠΕΡΙ ΣΩΤΗΡΙΔΟΥ ΤΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ

ΣΩτηρίδας γραμματικός· ἀνὴρ Παμφίλης ἱστορεῖται· ὅτις καὶ τὰς ἱστορίας πεπόνηκε. ἔγραψεν ὀρθογραφίαν, ζητήσεις ὁμηρικὰς, ὑπόμνημα εἰς Ὅμηρον, καὶ Μένανδρον, περὶ μέτρων, ὑπόμνημα εἰς Εὐριπίδην, καὶ περὶ κωμῳδίας.

ΦΙΛΟΣΟΦΟΙ.

ΠΕΡΙ ΣΕΞΤΟΥ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ

ΣΈξτος, Χαιρωνεὺς, ἀδελφιδοῦς Πλουτάρχου, γεγονὼς κατὰ Μάρκον Ἀντωνῖνον τὸν Καίσαρα, φιλόσοφος, μαθητὴς Ἡροδότου τοῦ Φιλαδελφέως· ἦν δὲ τῆς Πυρρωνείου ἀγωγῆς· καὶ τοσοῦτον πρὸς τιμῆς τῷ βασιλεῖ ἦν, ὥστε καὶ συνδικάζειν αὐτῷ. ἔγραψεν ἠθικὰ ἐπισκεπτικὰ, βιβλία δέκα καὶ ἄλλα. καὶ ἕτερος, Λίβυς φιλόσοφος. ἔγραψε σκεπτικὰ ἐν βιβλίοις ι', Πυρρώνεια.

ΠΕΡΙ ΣΙΛΒΑΝΟΥ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ

ΣΙλβανὸς, φιλόσοφος· ὃς ἐπιεικὴς μὲν ἦν τὰ ἄλλα καὶ ἱερὸς, ἀφιλόσοφος δὲ τὰ ἤθη καὶ ἀπολίτευτος.

ΠΕΡΙ ΣΙΜΜΙΟΥ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ

ΣΙμμίας, Θηβαῖος, φιλόσοφος, μαθητὴς Σωκράτους· ἔγραψε περὶ σοφίας, περὶ φιλίας, περὶ ἀληθείας, περὶ μουσικῆς, περὶ ἀρετῆς καὶ φυσικῆς, περὶ ἐπιμελείας ψυχῆς καὶ ἄλλα φιλόσοφα.

ΠΕΡΙ ΤΟΥ ΣΟΛΩΝΟΣ

ΣΟλων Ἀθηναῖος φιλόσοφος, καὶ νομοθέτης· ἔγραψε νόμους Ἀθηναίοις, οἵτινες ἄξονες ὠνομάσθησαν, διὰ τὸ γραφῆναι αὐτοὺς ἐν ξυλίνοις ἄξοσιν. Ἀθήνησι ποίημα δι' ἐλεγείων, ὃ Σαλαμὶς ἐπιγράφεται, ὑποθήκας δι' ἐλεγείων καὶ ἄλλα. ἦν δὲ καὶ οὗτος εἷς τῶν ἑπτὰ ὀνομαζομένων σοφῶν· καὶ εἴρηται αὐτοῦ ἀπόφθεγμα τόδε, μηδὲν ἄγαν· ἢ τὸ γνῶθι σαυτόν. ἀπεδήμησε δ' νομοθετήσας τοὺς νόμους, ἀπαιτήσας τοὺς πολίτας ὅρκους, ὅτι δι' δεκαετίας μένουσι, καὶ στέρξουσι τοὺς παρ' αὐτοῦ τιθεμένους νόμους· καὶ λόγον εἰ μὴ συνορῶσιν αὐτοῖς τί τηνικάδε λύσαι. τοῦτο δ' ἐποίησεν, ἵνα μὴ προστεθεῖεν αὐτοῖς ἐμμείνωσιν ἐπ' ὀλίγον χρόνον τοῖς δόγμασι. ἤδει γὰρ ὡς οὐ γίνονται ἡμιθεσίας, λοιπὸν δογμα-

παιδείας συγκρίνειν αὐτῷ. λαβὼν δὲ νόμους ὅλους τοῦ θέρμου παρὰ τῶν Ἀθηναίων, καὶ νομοθετήσας αὐτοῖς, ἐξῆλθεν ἀπὸ Ἀθηνῶν, ὀμνύων τοὺς δικαστὰς ἔξω ποιήσαι τοῦ ... ἐν τῇ πόλει, ἦλθε καὶ εἰς Λυδίαν πρὸς Κροῖσον τὸν βασιλέα. ὁ ἐλθόντα, εἰς θαῦμα ἦλθεν κελεύσας, ἐπιδείξαι αὐτῷ τοὺς θησαυροὺς αὐτοῦ, δεῖξαι αὐτῷ ὡς πολύχρυσος Κροῖσος. ἐπανελθόντα δὲ ἀπὸ τῶν θησαυρῶν τὸν Σόλωνα, ἤρετο ὁ Κροῖσος τίνα νομίζει εὐδαιμονέστερον πάντων ἀνθρώπων· ὑπολαβὼν ὅτι δὴ αὐτὸν πρὸ πάντων ἐρεῖ. ὁ δ' Σόλων ἀπεκρίνατο, Τέλλον τὸν Ἀθηναῖον. ἀγάζετο γὰρ ὁ Σόλων, ὁ τὸν πλοῦτον ... τοὺς ὑπερηφάνους, εὐδαιμονίαν, ἀλλὰ τὸν ... ζήσαντα. ... τὸν Σόλωνα ... ὁ Κροῖσος, πλοῦτον τὸν Λυδίων χρυσὸν ... ὁ πλοῦτος ... εὐδαιμονίαν ... ὁ λόγος, ... ψυχῆς ... καὶ τοὺς περὶ τὰ ... Σόλωνος ... τῇ ψυχῇ ... πλοῦτος, πρὸς τὴν ἐκτὸς εὐδαιμονίαν.

ΠΕΡΙ ΣΤΙΛΠΩΝΟΣ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ

Στίλπων Μεγαρεύς, φιλόσοφος, γεγονὼς ἐπὶ τῆς ἀρχῆς Πτολεμαίου, μαθητὴς Πασικλέους τοῦ Θηβαίου, ὃς ἠκροάσατο Κράτητος τοῦ ἀδελφοῦ, καὶ Διοκλείδου τοῦ Μεγαρέως. ἔγραψε διαλόγους οὐκ ἐλάττους τῶν κ.

ΠΕΡΙ ΣΤΡΑΒΩΝΟΣ

Στράβων, Ἀμασεύς, φιλόσοφος καὶ γεωγράφος.

ΠΕΡΙ ΣΤΡΑΤΩΝΟΣ

Στράτων, Λαμψακηνὸς φιλόσοφος, Θεοφράστου γνώριμος καὶ διάδοχος, ἐπεὶ δὲ Ἀριστοτέλει, ὁ Ἀριστοτέλης ἐτελεύτησε, φυσικὸς ἐπεκλήθη διὰ τὸ περὶ ταῦτα ἐπιμεληθῆναι τῆς φυσικῆς θεωρίας. ἔγραψε πολλὰ καὶ ἔπη. Ἀμασεὺς φιλόσοφος γέγονεν ἐπὶ Τιβερίου Καίσαρος· ἔγραψε γεωγραφικὰ ἐν βιβλίοις ζ.

ΠΕΡΙ ΣΥΝΕΣΙΟΥ

Συνέσιος, ἐπίσκοπος ἐν Πτολεμαΐδι Πενταπόλεως τῆς ἐν Λιβύῃ Θηβαΐδος, φιλόσοφος τῶν ὑπερτείων γενόμενος ἔγραψε βιβλία διάφορα, γραμματικά τε καὶ φιλόσοφα καὶ λόγους Βα-

βασιλικὰς πρὸς Ἀρκάδιον τὸν βασιλέα κατηγορικὸς, ἢ ἐπιδεικτικὰς ἐγκωμίων φαλάκρας· καὶ περὶ προνοίας λόγον θαυμαστὸν καὶ τὰς θαυμαζομένας ἐπιστολὰς καὶ ἄλλα πλεῖστα καὶ διάφορα βιβλία συνέταξεν.

ΠΕΡΙ ΣΥΡΙΑΝΟΥ

ΣΥριανὸς, Ἀλεξανδρεὺς φιλόσοφος, ἔγραψεν ὑπόμνημα εἰς ὅλον τὸν Ὅμηρον ἐν βιβλίοις ἑπτὰ, εἰς τὴν πολιτείαν Πλάτωνος, βιβλία δ΄ εἰς τὴν Ὀρφέως θεολογίαν, βιβλίον δύο εἰς τὰ Πρόκλου περὶ τῆς ὁμηρικῆς θεῶν συμφωνίας Ὀρφέως, Πυθαγόρου, καὶ Πλάτωνος περὶ τὰ λόγια, βιβλία δέκα καὶ ἄλλα ἐξηγητικά.

ΠΕΡΙ ΣΩΦΡΟΝΟΣ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ

ΣΩφρων, Συρακούσιος, Ἀγαθοκλέους, καὶ Δαμνασυλλίδος· τοῖς δὲ χρόνοις ἦν κατὰ Ξέρξην καὶ Εὐριπίδην καὶ ἔγραψε μίμους ἀνδρείους, μίμους γυναικείους· εἰσὶ δὲ καταλογάδην, Δωρίδι διαλέκτῳ. καί φασι Πλάτωνα τὸν φιλόσοφον ἀεὶ ἐντυγχάνειν αὐτοῖς, ὡς καθεύδειν ἐπ' αὐτῶν ἐσθ' ὅτε.

ΠΕΡΙ ΤΟΥ ΣΩΚΡΑΤΟΥΣ

ΣΩκράτης, τὸ μὲν γένος ἦν Ἀθηναῖος, φιλόσοφος δὲ καὶ παιδείας διδάσκαλος Πλάτωνος· ὅπως περιῆγε τοὺς νέους, καὶ τὰ μειράκια συγκροτοῦντο ἐπὶ φιλοσοφίαν, καὶ μελετᾷ καὶ ἐνόμιζεν ἦν πρὸς φιλοσοφίαν ἐπιτήδεια τὰ περικαλλῆ μειράκια τοὺς μὴ εὐμόρφους λέγοιεν ἦν· καὶ ἐκφανὲς ἦν ἐν δόξῃ παρ' Ἀθηναίοις ὅτι παιδεραστὴς ἦν ὁ Σωκράτης, διὰ τὸ ἐπιλέγειν τοῖς ὡραίοις, συνέρχεται γὰρ ὁ Πλάτων ἐν τῷ Θεαιτήτῳ, καὶ πανταχοῦ, ὑπὸ λέγοντα Σωκράτην· ὅτι καλὸς ὁ Θεαίτητος, καὶ καλὸς ὁ Χαρμίδης ἀντεῖπεν. ἐν δὲ τοῖς λόγοις ἐμφαίνει παρέχων ὁ Πλάτων, ὅτι Σωκράτης ἐσπουδάσθη τῇ τοιαύτῃ, διὰ τὰς τοιαύτας, ὡς εἶναι, κακὸς ἀπηρτημένος, ὅτι καλὸς μὲν ἦν, ἀλλὰ καὶ ἴδιον ὄψιν, ἀλλὰ τὴν ψυχήν. ἐσπουδάσθη δὲ ὅτι καὶ τῷ Ἀλκιβιάδῃ συγγίνεται καὶ τὸν αἰσχρὸν ἔρωτα. τοῦτο ὡς δαιμόνιος ὢν παραφθείροντα τὴν πολιτείαν, ἠτιάσαντο Ἄνυτος καὶ Μέλητος· ὃν μιμοῦνται καὶ Ἀριστοφάνης, Μέλητον τὸν Σωκράτην ἐγκαλῶν, οὐχ ὅτι Μήλιος ἐστι, (Ἀθηναῖος γὰρ ὁ Σωκράτης) ἀλλ' ὅτι Διαγόρας, Μήλιος ὤν, διαβάλλεται ὡς θεομάχος, καὶ τὸν Σωκράτην γὰρ ὡς ἄθεον διαβάλλει

ἐπεὶ

διὰ τοῦτο Μηλίων αὐτὸς [illegible] ἀντὶ τοῦ [illegible] Ἀριστογόρας δὲ τοῦ Μηλίου μαθητὴς ὁ Σωκράτης [illegible] καὶ ἄθεος ὁ Μήλιος, ὡς Διαγόρας, [illegible] Μήλιοι [illegible] Ἀττικοὶ [illegible] Ἀριστογόρας [illegible] τὰ Ἐλευσίνια οἱ δὲ Μήλιοι, [illegible] τῆς ψυχῆς τῶν Μηλίων οἱ δὲ, [illegible] ἄλλα [illegible] λέγουσι τοῦ Μηλίου [illegible] Μηλίου [illegible] δείξαντα, [illegible] ψυχὰς [illegible] μεταφορὰς [illegible] μέλος [illegible] παρέλαβεν Διαγόρας ὁ Μήλιος, [illegible] Ἀθηναίων [illegible] Μήλιος [illegible] Ἡρακλῆς [illegible] Σωκράτης [illegible] Μελήτῳ [illegible] Ἀπόλλωνι [illegible]

ΠΕΡΙ ΣΩΤΑΔΟΥ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ.

Σωτάδης, Ἀθηναῖος, φιλόσοφος, ὁ γράψας περὶ μυστηρίων βιβλία τρία.

Τ

ΠΕΡΙ ΤΟΥ ΤΑΝΤΑΛΟΥ

Τάνταλος, υἱὸς ἦν τοῦ Διὸς [illegible] μυστήρια [illegible] καλεῖται [illegible] τὸν [illegible] λίθος [illegible] φησί,

φασί, θέλη πιεῖν ἐκ τοῦ παρακειμένου ὕδατος, πίνειν ὁ λίθος ἐπάνω αὐτοῦ ἐπικρέμαται, ὅτι λιμῷ καὶ δίψῃ τέτακται, ὁρῶν μὲν ἀφ' ὧν δεῖ φαγεῖν καὶ πιεῖν, μὴ δυνάμενος δὲ διὰ τὸν ἐπηρτημένον πέτρον. οὐ μόνον δὲ ἔχειν αὐτῷ πρὸς κόλασιν τὴν πέτραν ἐπικρέμασθαι αὐτῷ, καὶ καταπίπτειν ἐπάνω αὐτοῦ, ἀλλ' ἔτι καὶ ἐπιγίνεσθαι ἐπιψαύειν τὸ γένειον αὐτοῦ τῇ λίμνῃ τοῦ ὕδατος προσψαύοντα. ὅπου δὲ καὶ ταῦτα αὐτὸ φασὶν ὅτι ἐν θεοῖς ἐπὶ ἑστίαν ἐκάλεσεν αὐτοὺς εἰς ἑαυτόν, ὁ δὲ τὴν ἐξουσίαν παρασκευάσαντες ἐπειδὴ ὅτι καὶ αὐτὸς ὁ Τάνταλος. τῷ τῷ ἄρα τρόπῳ ἐπειράσατο τοὺς θεοὺς ἐξουσίαν πείρασιν, ἀσεβεῖ ἐπιχειρήματος προφανῆ τὸ ἄπορον ἔχει· διακόψας γὰρ τὸν Πέλοπα, ἐγκαθῆκε λέβητι καὶ ἑψήσας, τοῖς θεοῖς παρέθηκε. μόνην δὲ Δήμητραν τὴν κρεῶν, ἀγνοίᾳ, μεταλαβοῦσαν λέγουσι· ὅπου δὲ τὴν Θέτιδα γνωρίσαντα δὲ τὸν Δία, Ἑρμῆ προστάξαι, ἐγκαθῆναι πάλιν λέβητι τὰ κρέατα, καὶ ἐκ γῆς τὸν παῖδα ἀνέστησε, ὁ δ' Βακχυλίδης, ὁ Ῥέας λόγον τὴν Ῥέαν λέγει ὑγιᾶσαι, καθίσασαν διὰ τοῦ λέβητος.

ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΤΑΥΡΩΝ ΞΕΝΟΚΤΟΝΙΑΣ

ΟΙ Ταῦροι, ἔθνος Σκυθικόν, παρ' οἷς τὸ ἱερὸν τῆς Ἀρτέμιδος ἦν ἐν ᾧ ἱέρεια ἡ θυγάτηρ Ἀγαμέμνονος Ἰφιγένεια. ἐν τούτῳ τῷ ἱερῷ πάντα ἄνθρωπον ἐπιδημήσαντα ξένον, ἔθυον τῇ Ἀρτέμιδι, ἄχρις οὗ μὴ κατῆλθεν γενέσθαι τὴν Ἰφιγένειαν μετὰ τὴν τῶν ξένων ἐπίδοσιν.

ΠΕΡΙ ΤΟΥ ΚΑΤΗΣΤΕΡΙΣΘΕΝΤΟΣ ΤΑΥΡΟΥ

ΤΑῦροι λευκοὶ τῷ Ποσειδῶνι τελείως ἐθύοντο, διὰ τὴν πολιὰν ἅλα· ὡς Πίνδαρος ἀργᾶντας καλεῖ, ἤδη λευκάς. ὅ τ' παλαιοὶ, ἀργᾶντας, τὰς διὰ λευκάς, ὅπου τημελεῖν λευκοὶ ἐνεκάθηντο καὶ χρήματα λιπαρά, τὰ λευκὰ καὶ λεῖα, καὶ παραπλήσιοι ὅμοιοι αὐτῷ ἐθύοντο, διὰ τὸ τὸ ὕδατος μέλαν, ὃ διὰ λίθων ἐν τῷ πορφύρεον κῦμα, πάντα μέλανα, καὶ ἰοειδέα καὶ ἰοειδέα· ὃ ἐν ἀέρι ταυτὸν ἐπὶ τῷ πορφυρέῳ μέλανι. διὸ καὶ ἱμουθέντα, ὅτι ταῦρός τις ὑπὸ Ποσειδῶνος ἐπέλθη ἐπὶ τὴν Ἑλλάδα, ὡς ἐλυμαίνετο τὴν χώραν, καὶ ἐκτείνε πολλοὺς ἐπὶ τόπῳ ἐλθεῖν ὁ Θησεύς, ἀνεῖλεν αὐτὸν καὶ διελάσαντο Θεοὶ μέγα τὸ ἔργον δεῖξαι τοῦ Θησέως, καὶ θηριώδεις καὶ τὸν Ποσειδῶνα, καταπέμψαι τὸν ταῦρον ἐν τῷ κρατεῖ· ἄλλοι δέ τινες τὸν Εὐρώπην ἀγαγόντα ἐκ Φοινίκης εἰς Κρήτην, διὰ τοῦ πελάγους, ὃν τοῖς ἄστροις

ἀστρας πόθους φασὶ· ὡς καὶ Εὐριπίδης ἐν Φρίξῳ [illegible] τάτῳ ἐν τοῖς [illegible], ὑπὸ Διὸς τιμηθέντα [illegible] φασιν [illegible] τῆς Ἠοῦς [illegible] [illegible] ὑπὸ Διὸς [illegible] μόθε τὸ [illegible]

ΠΕΡΙ ΤΕΛΑΜΩΝΟΣ

Τελαμῶν ὁ τοῦ Αἰακοῦ παῖς, φίλτατος ὢν τῷ Ἡρακλεῖ, [illegible] σὺν αὐτῷ, καὶ τὸ Ἴλιον εἷλε [illegible] τι, καὶ θύοντί ποτε τῷ Διὶ, [illegible] ὁ Ἡρακλῆς, ὅτι [illegible] ἐν Νεμέᾳ χώρᾳ τοῦ Ἄργους λέοντα, [illegible] [illegible] [illegible] χερσὶ, [illegible] τοῦ δέρματι χρώμενος, [illegible] αὐτὸ [illegible] κλέα, καὶ θύσας τῷ [illegible] πατρὶ Διὶ ὁ δὲ Ἡρακλῆς [illegible] Λεοντῆ [illegible] γενέσθαι παῖδα [illegible] αὐτοῦ [illegible] [illegible] [illegible], [illegible] καὶ [illegible] μὴ [illegible] [illegible], καὶ [illegible] Τελαμῶν, [illegible] τοῦ, [illegible] [illegible] αὐτοῦ, [illegible] Αἴαντα, [illegible] [illegible] [illegible] καὶ [illegible] Αἴαντα [illegible] τῇ λεοντῇ [illegible] Ἡρακλῆς [illegible] [illegible] [illegible], [illegible] [illegible] μόνα τὰ [illegible] [illegible] [illegible] τὸ [illegible] [illegible] ὁ Ἡρακλῆς [illegible] [illegible] [illegible] Ἡρακλέους [illegible] τὸν Αἴαντα [illegible] ὁ Αἴας, καὶ [illegible] τὸ [illegible] ὡς [illegible] ὁ Αἴας, [illegible] [illegible], [illegible] τὸ [illegible] [illegible] καὶ [illegible] τὸ [illegible] [illegible] [illegible] ὅπως [illegible], τὸ ξίφος κατὰ [illegible] [illegible], ἢ τὸν τράχηλον, [illegible] μῦθος [illegible] ὅτι [illegible] [illegible] μόνη τρωτός.

ΠΕΡΙ ΤΕΝΝΟΥ, ΑΦ ΟΥ ΤΕΝΕΔΟΣ

Τέννης καὶ Λευκοθέα, παῖδες Κύκνου τοῦ Ποσειδῶνος, καὶ [illegible] μὴ μητρὸς αὐτῶν [illegible] [illegible] ὁ Κύκνος [illegible] [illegible], [illegible], Φιλονόμη [illegible], [illegible] [illegible], [illegible] [illegible] [illegible], λέγει [illegible] Τέννη, καὶ [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] πρὸς αὐτὸν τὸ [illegible] τοῦ [illegible] [illegible] [illegible] [illegible], [illegible] [illegible] [illegible] αὐτοῦ, [illegible] [illegible] αὐτὸν [illegible] ὁ [illegible] [illegible] τῇ [illegible], [illegible] [illegible], [illegible] εἰς λάρνακα, καὶ [illegible] εἰς [illegible] θάλασσαν [illegible] [illegible], καὶ [illegible] [illegible] [illegible], [illegible] Γε-

Ποσειδῶν· τὴν γὰρ λάρνακα προσενεχθεῖσαν τῇ Λακεδαίμονι [illegible] ἀνοίξαντες οἱ ἐπιχώριοι θεασάμενοι, καὶ ἀφελόντες τὸ σῶμα, μαθόντες τὸ γεγονός, οὐ μόνον ἐκεῖνον βασιλέα τῆς Τενέδου κατέστησαν, ἀλλὰ καὶ ἀπ' αὐτοῦ Τένεδον τὴν νῆσον προσηγόρευσαν, μὴ πρότερον τοῦτο τὸ ὄνομα ἔχουσαν.

ΠΕΡΙ ΤΗΛΕΒΟΩΝ.

Τηλεβόαι, οἱ πρότερον τὴν Ἀκαρνανίαν οἰκοῦντες, ἄνδρες λῃστρικώτατοι τὸν τρόπον· καὶ εἰς Ἄργος ἐπελθόντες, τοὺς τοῦ Ἠλεκτρύωνος υἱοὺς ἀπέκτειναν τοῦ πατρὸς Ἀλκμήνης [illegible] ἐν μάχαις, καὶ ὁ Ἠλεκτρύων καὶ ἐν ταύτῃ [illegible] ἀνῃρέθη· διὸ Ἀλκμήνη μεταπέμψασα, καὶ ἀνεκήρυξε τὸν ἑαυτῆς γάμον, τῷ τιμωρησαμένῳ τὸν τῶν παίδων φόνον. τιμωρησάμενος δ' Ἀμφιτρύων, ἔγημε. ἡ ἱστορία παρὰ Ἡσιόδῳ [illegible] ἐν τῇ μάχῃ Ἡρόδωρος [illegible], ἀπὸ Περσέως καὶ Ἀνδρομέδας παῖδες ἐγένοντο, Ἀλκαῖος, Σθένελος, Μήστωρ, Ἠλεκτρύων καὶ [illegible] ἔσχεν οὗτος βασιλείαν, μετὰ τὸν Περσέως θάνατον. Μήστορος δ' θυγάτηρ Ἱπποθόη. ἐκ Ποσειδῶνος, Πτερέλαος τὸν [illegible], Τηλεβόας, καὶ Τάφος ὥς δέ τινες, Πτερέλα τοῦ Τηλεβόα ἐγένοντο παῖδες, οἱ καλούμενοι Τηλεβόαι. ἐλθόντες δέ, [illegible] Ἠλεκτρύωνα [illegible] τῆς μητρὸς [illegible] ἀπεπέμφθησαν [illegible] οἱ Ἠλεκτρυωνίδαι, ἀνῃρέθησαν [illegible] αὐτοῦ Πτερέλα παῖδες Τηλεβόαι, καὶ Τάφου ἀφ' οὗ ἡ νῆσος. Τηλεβόαι δὲ οἱ Τάφιοι, [illegible] ἀπὸ τοῦ Ἄργους, τὰς βοῦς ἀπήλασαν, [illegible] ἀπὸ τοῦ Τηλεβόου τοῦ Πτερέλα τοῦ βασιλέως [illegible] ἀδελφὸς Τάφιος, ἀφ' οὗ καὶ ἡ νῆσος.

ΠΕΡΙ ΤΟΥ ΤΗΛΕΜΑΧΟΥ.

